imitation preserving the and whole for-him helped-accomplish — God
τῇ τοῦ πατρὸς διαδοχῇ προμηθούμενος αὐτὸν παρεῖναι.
by-the of-the father succession providing him to-be-present
21 Αὐτίκα δ' οὖν ἐπειδὴ τῶν ἐπιβούλων τὰς μηχανὰς διαδρὰς
at-once and then when of-the plotters the devices having-escaped
σπεύδων ἀφίκετο πρὸς τὸν πατέρα, ὁμοῦ μὲν αὐτὸς
hastening he-arrived to the father together indeed he-himself
χρόνιος παρῆν, κατὰ τὸ αὐτὸ δὲ τῷ πατρὶ τὰ τῆς
after-long-time was-present at the same(-time) and for-the father the(-things) of-the
τοῦ βίου τελευτῆς ἐπὶ ξυροῦ ἵστατο. ὡς δ' ἀπροσδόκητον
of-the life end on (a)-razor stood when and unexpectedly
εἶδεν ὁ Κωνστάντιος παρεστῶτα τὸν παῖδα, ἐξαλλόμενος
saw — Constantius standing-by the son leaping-up
τῆς στρωμνῆς περιβαλών τε αὐτὸν τὼ χεῖρε καὶ τὸ
from-the couch having-embraced and him with-the hands and the
μόνον λυπηρὸν αὐτῷ μέλλοντι τὸν βίον ἀποτίθεσθαι (τοῦτο
only grief to-him being-about the life to-lay-aside this
δ' ἦν ἡ τοῦ παιδὸς ἀπουσία) τῆς ψυχῆς ἀποβεβληκέναι
and was the of-the son absence from-the soul to-have-cast-off
εἰπών, εὐχάριστον ἀνέπεμπε τῷ θεῷ τὴν εὐχήν, νῦν αὐτῷ
having-said thankful sent-up — to-God the prayer now for-him
τὸν θάνατον ἀθανασίας κρείττονα λογίσασθαι φήσας, καὶ
the death than-immortality better to-reckon having-said and
δὴ τὰ καθ' ἑαυτὸν διετάττετο, υἱοῖς θ' ἅμα
indeed the(-affairs) regarding himself he-arranged with-sons and together
καὶ θυγατράσι συνταξάμενος χοροῦ δίκην αὐτὸν κυκλοῦσιν,
also daughters having-taken-leave of-chorus like him encircling
ἐν αὐτοῖς βασιλείοις ἐπὶ βασιλικῇ στρωμνῇ, τὸν κλῆρον
in the-very palace on (the)-imperial couch the inheritance

τῆς βασιλείας νόμῳ φύσεως τῷ τῇ ἡλικίᾳ προάγοντι
of-the empire by-law of-nature to-the in-the age preceding
τῶν παίδων παραδούς, διανεπαύσατο.
of-the sons having-handed-over he-went-to-rest
Οὐ μὴν ἀβασίλευτος ἔμενεν ἡ ἀρχή, αὐτῇ δ' ἁλουργίδι 22
not however without-emperor remained the rule with-the-very and purple
πατρικῇ Κωνσταντῖνος κοσμησάμενος τῶν πατρικῶν οἴκων
paternal Constantine having-adorned-himself from-the paternal houses
προῄει, ὥσπερ ἐξ ἀναβιώσεως τὸν πατέρα βασιλεύοντα
went-forth as-though from revival the father reigning
δι' ἑαυτοῦ δεικνὺς τοῖς πᾶσιν. εἶτα τῆς προκομιδῆς
through himself showing to-the all then of-the funeral-procession
ἡγούμενος σὺν τοῖς ἀμφ' αὐτὸν πατρικοῖς φίλοις τὸν
leading with the around him paternal friends the
πατέρα προύπεμπε· δήμων τε πλήθη μύρια στρατιωτῶν τε
father he-escorted of-peoples and multitudes countless of-soldiers and
δορυφορίαι, τῶν μὲν ἡγουμένων τῶν δὲ κατόπιν ἑπομένων,
bodyguards some indeed leading others and behind following
σὺν παντὶ κόσμῳ τὸν θεοφιλῆ συνέπεμπον, εὐφημίαις
with all adornment the God-loving(-man) escorted with-acclamations
τε καὶ ὕμνοις οἱ πάντες τὸν τρισμακάριον ἐτίμων,
both and hymns they all the thrice-blessed(-one) honored
ὁμογνώμονί τε συμφωνίᾳ τοῦ τεθνεῶτος ἀναβίωσιν τὴν
with-like-minded and harmony of-the dead(-man) revival the
τοῦ παιδὸς κράτησιν ἐδόξαζον, βοαῖς τε εὐφήμοις τὸν νέον
of-the son rule they-glorified with-cries and auspicious the new
βασιλέα αὐτοκράτορα καὶ αὔγουστον εὐθέως ἐκ πρώτης
emperor autocrat and augustus at-once from first
ἀνηγόρευον φωνῆς. καὶ τὸν μὲν τεθνηκότα ἐκόσμουν αἱ βοαὶ
proclaimed voice and the indeed dead(-man) adorned the cries
ταῖς εἰς τὸν υἱὸν εὐφημίαις, τὸν δὲ παῖδα ἐμακάριζον
with-the toward the son acclamations the but son they-called-blessed

τοιοῦδε πατρὸς διάδοχον ἀποδειχθέντα, πάντα δὲ τὰ ὑπὸ τὴν
of-such father successor shown-to-be all and the under the
ἀρχὴν ἔθνη εὐφροσύνης ἐπληροῦτο καὶ ἀλέκτου χαρᾶς ὡς
rule nations with-gladness were-filled and unspeakable joy so-that
μηδὲ χρόνου βραχυτάτου ῥοπὴν χηρεύσαντα βασιλικῆς
not-even of-time briefest (the)-moment bereft of-imperial
εὐκοσμίας. τοῦτο τέλος εὐσεβοῦς καὶ φιλοθέου τρόπου ἐπὶ
good-order this end of-pious and God-loving way upon
βασιλεῖ Κωνσταντίῳ θεὸς ἔδειξε τῷ καθ' ἡμᾶς γένει.
emperor Constantius God showed to-the in our(-time) generation

23 Τῶν δ' ἄλλων, ὅσοι τὰς ἐκκλησίας τοῦ θεοῦ πολέμου
of-the and others as-many-as the churches — of-God of-war
νόμῳ μετῆλθον, τὰς τοῦ βίου καταστροφὰς οὐκ εἶναι
by-law pursued the of-the life ends not to-be
πρέπον ἔκρινα τῷ παρόντι παραδοῦναι διηγήματι οὐδὲ τὰς
fitting I-judged to-the present to-hand-over narrative nor the
τῶν ἀγαθῶν μνήμας τῇ τῶν ἐναντίων παραθέσει μιαίνειν.
of-the good memories by-the of-the opposites juxtaposition to-defile
ἀπαρκεῖ δὲ ἡ τῶν ἔργων πεῖρα πρὸς σωφρονισμὸν
suffices and the of-the deeds experience for correction
τῶν αὐταῖς ὄψεσι καὶ ἀκοαῖς τὴν τῶν ἑκάστῳ
of-the(-ones) with-the-very eyes and ears the of-the(-things) to-each
συμβεβηκότων παρειληφότων ἱστορίαν.
having-happened having-received account

24 Οὕτω δὴ Κωνσταντῖνον, τοιούτου φύντα πατρός, ἄρχοντα
thus indeed Constantine of-such sprung father ruler
καὶ καθηγεμόνα τῶν ὅλων θεὸς ὁ τοῦ σύμπαντος
and leader of-the whole(-world) God the of-the whole
κόσμου πρύτανις δι' ἑαυτοῦ προεχειρίζετο, ὡς μηδένα
universe president through himself appointed so-that no-one

ἀνθρώπων μόνου τοῦδε τὴν προαγωγὴν αὐχῆσαι, τῶν
of-men of-alone this(-man) the advancement to-boast of-the
ἄλλων ἐξ ἐπικρίσεως ἑτέρων τῆς τιμῆς ἠξιωμένων.
others from choice of-others with-the honor having-been-deemed-worthy
Ὡς οὖν ἐπὶ τῆς βασιλείας ἵδρυτο, τέως μὲν
when then on the empire he-had-been-established for-a-while indeed
τῆς πατρικῆς προενόει λήξεως ἐπισκοπῶν σὺν πολλῇ
of-the paternal he-took-forethought portion overseeing with much
φιλανθρωπίᾳ πάνθ' ὅσα πρότερον ἔθνη ὑπὸ τῇ τοῦ
humanity all as-many-as formerly nations under the of-the
πατρὸς μοίρᾳ διεκυβερνᾶτο, ὅσα τε γένη βαρβάρων
father share were-governed as-many-as and races of-barbarians
τῶν ἀμφὶ Ῥῆνον ποταμὸν ἑσπέριόν τε ὠκεανὸν οἰκούντων
of-the around (the)-Rhine river western and ocean dwelling
στασιάζειν ἐτόλμα, πάντα ὑποτάττων ἥμερα ἐξ ἀτιθάσων
to-revolt dared all subjecting tame from savage
κατειργάζετο, ἄλλα δ' ἀναστέλλων ὥσπερ τινὰς θῆρας
he-made others but repelling as-if some beasts
ἀγρίους ἀπεσόβει τῆς οἰκείας, ὅσα περ ἀνιάτως
wild he-drove-off from-the own(-land) as-many-as indeed incurably
ἔχοντα πρὸς ἡμέρου βίου κατάστασιν ἑώρα. ἐπεὶ δὲ ταῦτα
being toward of-gentle life settlement he-saw when and these(-things)
κατὰ λόγον ἔκειτο αὐτῷ, τὰς λοιπὰς τῆς οἰκουμένης
according-to reason lay for-him the remaining of-the inhabited-world
λήξεις πρὸ ὀφθαλμῶν θέμενος, τέως μὲν ἐπὶ τὰ
portions before eyes having-set for-a-while indeed to the
Βρεττανῶν ἔθνη διέβαινεν ἔνδον ἐν αὐτῷ κείμενα ὠκεανῷ,
of-Britons nations he-crossed within in the-very lying ocean
παραστησάμενος δὲ ταῦτα διεσκόπει τὰς ἑτέρας τοῦ
having-subdued and these(-things) he-examined the other of-the
παντὸς μοίρας, ὡς ἂν θεραπεύοι τὰ βοηθείας δεόμενα.
whole portions how — he-might-tend the(-things) of-help needing

Seeing Rome enslaved to Maxentius' sorcery, Constantine sought the help of his father's God. As he prayed, a cross of light appeared in the sky at midday with the words 'By this conquer', and that night Christ appeared to him in his sleep and bade him make a likeness of the sign. He had it wrought in gold and gems, the standard Eusebius saw, and learned its meaning from Christian teachers. Meanwhile Maxentius seized wives, drove a Christian lady to her death, slaughtered the people, and practiced magic.

26 Εἶθ' ὥσπερ μέγα σῶμα τὸ πᾶν τῆς γῆς ἐννοήσας
then like (a)-great body the whole of-the earth having-considered
στοιχεῖον, κἄπειτα τὴν τοῦ παντὸς κεφαλήν, τῆς Ῥωμαίων
element and-then the of-the whole head of-the of-Romans
ἀρχῆς τὴν βασιλεύουσαν πόλιν, τυραννικῇ δουλείᾳ συνιδὼν
rule the reigning city to-tyrannical slavery having-perceived
καθυπηγμένην, παρεχώρει μὲν τὰ πρῶτα τὴν ὑπὲρ αὐτῆς
subjugated he-yielded indeed the first the for it
ἄμυναν τοῖς τῶν λοιπῶν κρατοῦσι μερῶν ἅτε
defense to-the(-ones) of-the remaining ruling parts inasmuch-as
δὴ χρόνῳ προάγουσιν, ἐπεὶ δὲ τούτων οὐδεὶς οἷός τε
indeed in-time preceding since but of-these no-one able —
ἦν ἐπικουρεῖν ἀλλὰ καὶ οἱ πεῖραν λαβεῖν ἐθελήσαντες
was to-help but even the(-ones) (a)-trial to-take having-wished
αἰσχρὸν ὑπέμειναν τέλος, οὐδὲ βιωτὸν αὐτῷ τὴν ζωὴν εἶναι
shameful underwent end not-even livable for-him the life to-be
εἰπών, εἰ τὴν βασιλίδα πόλιν οὕτω κάμνουσαν παρίδοι,
having-said if the queen city thus suffering he-should-overlook
παρεσκευάζετο τὰ πρὸς τὴν καθαίρεσιν τῆς τυραννίδος.
he-prepared the(-things) for the overthrow of-the tyranny

Εὖ δ' ἐννοήσας ὡς κρείττονος ἢ κατὰ στρατιωτικὴν 27
well and having-considered that of-stronger than according-to military
δέοι αὐτῷ βοηθείας διὰ τὰς κακοτέχνους καὶ
there-was-need for-him help because-of the malicious and
γοητικὰς μαγγανείας τὰς παρὰ τῷ τυράννῳ ἐσπουδασμένας,
sorcerous trickeries the by the tyrant practiced
θεὸν ἀνεζήτει βοηθόν, τὰ μὲν ἐξ ὁπλιτῶν καὶ
God he-sought (as)-helper the(-things) indeed from hoplites and
στρατιωτικοῦ πλήθους δεύτερα τιθέμενος (τῆς γὰρ παρὰ
military multitude second placing of-the for from
θεοῦ βοηθείας ἀπούσης τὸ μηθὲν ταῦτα δύνασθαι ἡγεῖτο),
God help being-absent the nothing these(-things) to-be-able he-thought
τὰ δ' ἐκ θεοῦ συνεργίας ἄμαχα εἶναι καὶ ἀήττητα
the(-things) but from God's cooperation unconquerable to-be and invincible
λέγων. ἐννοεῖ δῆτα ὁποῖον δέοι θεὸν ἐπιγράψασθαι,
saying he-considers indeed what-sort there-was-need God to-enlist
ζητοῦντι δ' αὐτῷ ἔννοιά τις ὑπεισῆλθεν, ὡς πλειόνων
seeking and to-him thought (a)-certain stole-in that of-more
πρότερον τῆς ἀρχῆς ἐφαψαμένων οἱ μὲν πλείοσι θεοῖς
earlier the rule having-laid-hold-of some indeed on-more gods
τὰς σφῶν αὐτῶν ἀναρτήσαντες ἐλπίδας, λοιβαῖς τε καὶ
the their own having-hung hopes with-libations both and
θυσίαις καὶ ἀναθήμασι τούτους θεραπεύσαντες, ἀπατηθέντες
sacrifices and dedications these having-served deceived
τὰ πρῶτα διὰ μαντειῶν κεχαρισμένων χρησμῶν τε
the first through oracles pleasing responses and
τὰ αἴσια ἀπαγγελλομένων αὐτοῖς τέλος οὐκ αἴσιον
the(-things) auspicious announcing to-them end not auspicious
εὕραντο, οὐδέ τις θεῶν πρὸς τὸ μὴ θεηλάτοις ὑποβληθῆναι
found nor any of-gods toward the not to-God-sent to-be-subjected
καταστροφαῖς δεξιὸς αὐτοῖς παρέστη, μόνον δὲ τὸν ἑαυτοῦ
ruins favorable for-them stood alone but the his-own

πατέρα τὴν ἐναντίαν ἐκείνοις τραπέντα τῶν μὲν
father the opposite to-those having-turned of-the(-ones) indeed
πλάνην καταγνῶναι, αὐτὸν δὲ τὸν ἐπέκεινα τῶν ὅλων
error to-have-condemned he-himself but the beyond the whole(-world)
θεόν, διὰ πάσης τιμήσαντα ζωῆς, σωτῆρα καὶ φύλακα
God through all having-honored life savior and guardian
τῆς βασιλείας ἀγαθοῦ τε παντὸς χορηγὸν εὕρασθαι.
of-the empire of-good and every provider to-have-found
ταῦτα παρ᾽ ἑαυτῷ διακρίνας εὖ τε λογισάμενος, ὡς
these(-things) with himself having-judged well and having-reckoned that
οἱ μὲν πλήθει θεῶν ἐπιθαρσήσαντες καὶ πλείοσιν
they indeed in-(a)-multitude of-gods having-trusted also into-more
περιπεπτώκασιν ὀλέθροις, ὡς μηδὲ γένος μὴ φυὴν μὴ
have-fallen ruins so-that not-even race nor shoot nor
ῥίζαν αὐτοῖς, μηδ᾽ ὄνομα μηδὲ μνήμην ἐν ἀνθρώποις
root for-them nor name nor memory among men
ἀπολειφθῆναι, ὁ δὲ πατρῷος αὐτῷ θεὸς τῆς αὐτοῦ
to-be-left the but paternal to-him God of-the his
δυνάμεως ἐναργῆ καὶ πάμπολλα δείγματα εἴη δεδωκὼς τῷ
power clear and very-many proofs had having-given to-the
αὐτοῦ πατρί, ἀλλὰ καὶ τοὺς ἤδη καταστρατεύσαντας
his father but also the(-ones) already having-campaigned
πρότερον τοῦ τυράννου διασκεψάμενος σὺν πλήθει
before against-the tyrant having-considered with multitude
μὲν θεῶν τὴν παράταξιν πεποιημένους αἰσχρὸν δὲ τέλος
indeed of-gods the battle-line having-made shameful but end
ὑπομείναντας· ὁ μὲν γὰρ αὐτῶν σὺν αἰσχύνῃ τῆς
having-undergone the(-one) indeed for of-them with shame from-the
συμβολῆς ἄπρακτος ἀνεχώρει, ὁ δὲ καὶ μέσοις
encounter unsuccessful withdrew the(-other) but also in-the-midst-of
αὐτοῖς τοῖς στρατεύμασι κατασφαγεὶς πάρεργον ἐγένετο
the-very the armies slaughtered (a)-by-work became

θανάτου· ταῦτ᾽ οὖν πάντα συναγαγὼν τῇ διανοίᾳ, τὸ
of-death these(-things) then all having-gathered in-the mind the
μὲν περὶ τοὺς μηθὲν ὄντας θεοὺς ματαιάζειν καὶ μετὰ
indeed about the nothing being gods to-be-foolish and after
τοσοῦτον ἔλεγχον ἀποπλανᾶσθαι μωρίας ἔργον ὑπελάμβανεν,
so-great refutation to-wander-astray of-folly work he-supposed
τὸν δὲ πατρῷον τιμᾶν μόνον ᾤετο δεῖν θεόν.
the but paternal to-honor alone he-thought (one)-must God
Ἀνεκαλεῖτο δῆτα ἐν εὐχαῖς τοῦτον, ἀντιβολῶν καὶ 28
he-called-upon indeed in prayers this(-one) entreating and
ποτνιώμενος φῆναι αὐτῷ ἑαυτὸν ὅστις εἴη καὶ τὴν ἑαυτοῦ
imploring to-show to-him himself who he-was and the his-own
δεξιὰν χεῖρα τοῖς προκειμένοις ἐπορέξαι. εὐχομένῳ δὲ
right hand to-the(-things) at-hand to-stretch-out praying and
ταῦτα καὶ λιπαρῶς ἱκετεύοντι τῷ βασιλεῖ θεοσημία τις
these(-things) and earnestly supplicating to-the emperor divine-sign (a)-certain
ἐπιφαίνεται παραδοξοτάτη, ἣν τάχα μὲν ἂν ἄλλου λέγοντος
appears most-wondrous which perhaps indeed — another telling
οὐ ῥᾴδιον ἦν ἀποδέξασθαι, αὐτοῦ δὲ τοῦ νικητοῦ βασιλέως
not easy it-was to-accept himself but the victorious emperor
τοῖς τὴν γραφὴν διηγουμένοις ἡμῖν μακροῖς ὕστερον
to-the(-ones) the writing narrating to-us in-long later
χρόνοις, ὅτε ἠξιώθημεν τῆς αὐτοῦ γνώσεώς τε καὶ
times when we-were-deemed-worthy of-the his acquaintance both and
ὁμιλίας, ἐξαγγείλαντος ὅρκοις τε πιστωσαμένου τὸν λόγον,
converse having-announced(-it) with-oaths and having-confirmed the account
τίς ἂν ἀμφιβάλοι μὴ οὐχὶ πιστεῦσαι τῷ διηγήματι; μάλισθ᾽
who — would-doubt not not to-believe to-the narrative especially
ὅτε καὶ ὁ μετὰ ταῦτα χρόνος ἀληθῆ τῷ λόγῳ παρέσχε
since also the after these(-things) time true to-the account furnished
τὴν μαρτυρίαν. ἀμφὶ μεσημβρινὰς ἡλίου ὥρας, ἤδη τῆς
the testimony about midday of-(the)-sun hours already of-the

ἡμέρας ἀποκλινούσης, αὐτοῖς ὀφθαλμοῖς ἰδεῖν ἔφη ἐν
day declining with-the-very eyes to-see he-said in
αὐτῷ οὐρανῷ ὑπερκείμενον τοῦ ἡλίου σταυροῦ τρόπαιον ἐκ
very heaven lying-above the sun of-(a)-cross trophy from
φωτὸς συνιστάμενον, γραφήν τε αὐτῷ συνῆφθαι λέγουσαν·
light formed (a)-writing and to-it to-be-joined saying
τούτῳ νίκα. θάμβος δ' ἐπὶ τῷ θεάματι κρατῆσαι αὐτόν
by-this conquer astonishment but at the spectacle to-seize him
τε καὶ τὸ στρατιωτικὸν ἅπαν, ὃ δὴ στελλομένῳ ποι
both and the army whole which indeed for-him-setting-out somewhere
πορείαν συνείπετό τε καὶ θεωρὸν ἐγίνετο τοῦ θαύματος.
(a)-march followed both and witness became of-the wonder
29 Καὶ δὴ διαπορεῖν πρὸς ἑαυτὸν ἔλεγε, τί ποτε εἴη τὸ
and indeed to-be-perplexed toward himself he-said what ever might-be the
φάσμα. ἐνθυμουμένῳ δ' αὐτῷ καὶ ἐπὶ πολὺ λογιζομένῳ
apparition pondering and to-him and on much reasoning
νὺξ ἐπῆλθε καταλαβοῦσα. ἔνθα δὴ ὑπνοῦντι αὐτῷ τὸν
night came-on having-overtaken there indeed sleeping to-him —
Χριστὸν τοῦ θεοῦ σὺν τῷ φανέντι κατ' οὐρανὸν σημείῳ
Christ — of-God with the having-appeared in heaven sign
ὀφθῆναί τε καὶ παρακελεύσασθαι, μίμημα ποιησάμενον
to-have-been-seen both and to-have-bidden (a)-copy having-made
τοῦ κατ' οὐρανὸν ὀφθέντος σημείου τούτῳ πρὸς τὰς τῶν
of-the in heaven seen sign this toward the of-the
πολεμίων συμβολὰς ἀλεξήματι χρῆσθαι.
enemies encounters as-(a)-safeguard to-use
30 Ἅμα δ' ἡμέρᾳ διαναστὰς τοῖς φίλοις ἐξηγόρευε
together-with and day having-risen to-the friends he-declared
τὸ ἀπόρρητον. κἄπειτα χρυσοῦ καὶ λίθων πολυτελῶν
the secret and-then of-gold and of-stones precious
δημιουργοὺς συγκαλέσας μέσος αὐτὸς καθιζάνει καὶ
craftsmen having-called-together in-the-middle he-himself sits and

τοῦ σημείου τὴν εἰκόνα φράζει, ἀπομιμεῖσθαί τε αὐτὴν
of-the sign the image describes to-imitate and it
χρυσῷ καὶ πολυτελέσι λίθοις διεκελεύετο. ὃ δὴ καὶ
in-gold and precious stones he-bade which indeed also
ἡμᾶς ὀφθαλμοῖς ποτε παραλαβεῖν αὐτὸς βασιλεύς, θεοῦ
us with-eyes once to-receive himself emperor God
καὶ τοῦτο χαρισαμένου, ἠξίωσεν.
also this having-granted deemed-worthy

Ἦν δὲ τοιῷδε σχήματι κατεσκευασμένον. ὑψηλὸν δόρυ 31
it-was and in-such (a)-shape constructed (a)-tall spear
χρυσῷ κατημφιεσμένον κέρας εἶχεν ἐγκάρσιον, ἄνω δὲ
with-gold overlaid (a)-horn it-had transverse above and
πρὸς ἄκρῳ τοῦ παντὸς στέφανος ἐκ λίθων πολυτελῶν
at (the)-top of-the whole (a)-wreath from stones precious
καὶ χρυσοῦ συμπεπλεγμένος κατεστήρικτο, καθ' οὗ
and gold interwoven was-fixed on which
τῆς σωτηρίου ἐπηγορίας τὸ σύμβολον, δύο στοιχεῖα τὸ
of-the saving name the symbol two letters the
Χριστοῦ παραδηλοῦντα ὄνομα, χιαζομένου τοῦ ῥῶ κατὰ
of-Christ indicating name being-crossed the rho at
τὸ μεσαίτατον· ἃ δὴ καὶ κατὰ τοῦ κράνους φέρειν
the very-middle which indeed also on the helmet to-wear
εἴωθε κἀν τοῖς μετὰ ταῦτα χρόνοις ὁ βασιλεύς.
was-wont even-in the after these(-things) times the emperor
τοῦ δὲ πλαγίου κέρως τοῦ κατὰ τὸ δόρυ πεπαρμένου
of-the and transverse horn the on the spear pierced
ὀθόνη τις ἐκκρεμὴς ἀπῃώρητο, βασιλικὸν ὕφασμα
cloth (a)-certain hanging was-suspended imperial woven-stuff
ποικιλίᾳ συνημμένων πολυτελῶν λίθων φωτὸς αὐγαῖς
with-(a)-variety of-joined precious stones of-light with-rays
ἐξαστραπτόντων καλυπτόμενον σὺν πολλῷ τε καθυφασμένον
flashing covered with much and interwoven

χρυσῷ, ἀδιήγητόν τι χρῆμα τοῖς ὁρῶσι παρέχον τοῦ
gold indescribable some thing to-the(-ones) seeing offering of-the
κάλλους. τοῦτο μὲν οὖν τὸ φᾶρος τοῦ κέρως ἐξημμένον
beauty this indeed then the banner to-the horn fastened
σύμμετρον μήκους τε καὶ πλάτους περιγραφὴν ἀπελάμβανε·
symmetrical of-length both and breadth outline received
τὸ δ' ὄρθιον δόρυ, τῆς κάτω ἀρχῆς ἐπὶ πολὺ μηκυνόμενον
the but upright spear from-the lower beginning to much extended
ἄνω μετέωρον, ὑπὸ τῷ τοῦ σταυροῦ τροπαίῳ πρὸς αὐτοῖς
above aloft under the of-the cross trophy at the-very
ἄκροις τοῦ διαγραφέντος ὑφάσματος τὴν τοῦ θεοφιλοῦς
top-edges of-the described woven-stuff the of-the God-loving
βασιλέως εἰκόνα χρυσῆν μέχρι στέρνων τῶν τ' αὐτοῦ
emperor image golden as-far-as (the)-breast of-the and his
παίδων ὁμοίως ἔφερεν. τούτῳ μὲν οὖν τῷ σωτηρίῳ σημείῳ
sons likewise bore this indeed then the saving sign
πάσης ἀντικειμένης καὶ πολεμίας δυνάμεως ἀμυντηρίῳ
of-every opposing and hostile power (as)-defense
διὰ παντὸς ἐχρῆτο βασιλεύς, τῶν τε στρατοπέδων
through all used emperor of-the and camps
ἁπάντων ἡγεῖσθαι τὰ τούτου ὁμοιώματα προσέταττεν.
all to-lead the of-this likenesses he-commanded

32 Ἀλλὰ ταῦτα σμικρὸν ὕστερον. κατὰ δὲ τὸν δηλωθέντα
but these(-things) little later at but the shown
χρόνον τὴν παράδοξον καταπλαγεὶς ὄψιν, οὐδ' ἕτερον θεῶν
time at-the wondrous struck-with-amazement vision nor other of-gods
ἢ τὸν ὀφθέντα δοκιμάσας σέβειν τοὺς τῶν αὐτοῦ λόγων
than the seen having-judged to-revere the of-the his words
μύστας ἀνεκαλεῖτο, καὶ τίς εἴη θεὸς οὗτος ἠρώτα τίς τε ὁ
initiates he-called-upon and who might-be God this he-asked what and the
τῆς ὀφθείσης ὄψεως λόγος. οἱ δὲ τὸν μὲν εἶναι θεὸν ἔφασαν
of-the seen vision meaning they and him indeed to-be God said

θεοῦ τοῦ ἑνὸς καὶ μόνου μονογενῆ παῖδα, τὸ δὲ σημεῖον
of-God the one and only only-begotten son the but sign
τὸ φανὲν σύμβολον μὲν ἀθανασίας εἶναι τρόπαιον δ᾽
the having-appeared symbol indeed of-immortality to-be trophy but
ὑπάρχειν τῆς κατὰ τοῦ θανάτου νίκης, ἣν ἐποιήσατό ποτε
to-be of-the over the death victory which he-made once
παρελθὼν ἐπὶ γῆς, ἐδίδασκόν τε τὰς τῆς παρόδου αἰτίας,
having-come-by upon earth they-taught both the of-the coming causes
τὸν ἀκριβῆ λόγον αὐτῷ τῆς κατ᾽ ἀνθρώπους οἰκονομίας
the exact account to-him of-the among men dispensation
ὑποτιθέμενοι. ὁ δὲ καὶ τούτοις μὲν ἐμαθητεύετο τοῖς λόγοις,
setting-forth he and also by-these indeed was-instructed the words
θαῦμα δ᾽ εἶχε τῆς ὀφθαλμοῖς αὐτῷ παραδοθείσης θεοφανείας,
wonder but held of-the to-eyes to-him delivered theophany
συμβάλλων τε τὴν οὐράνιον ὄψιν τῇ τῶν λεγομένων
comparing and the heavenly vision with-the of-the things-said
ἑρμηνείᾳ τὴν διάνοιαν ἐστηρίζετο, θεοδίδακτον αὐτῷ τὴν
interpretation the mind he-made-firm God-taught to-him the
τούτων γνῶσιν παρεῖναι πειθόμενος. καὶ αὐτὸς δ᾽ ἤδη τοῖς
of-these knowledge to-be-present persuaded and himself and already to-the
ἐνθέοις ἀναγνώσμασι προσέχειν ἠξίου. καὶ δὴ τοὺς
inspired readings to-attend deemed-it-worthy and indeed the
τοῦ θεοῦ ἱερέας παρέδρους αὐτῷ ποιησάμενος τὸν ὀφθέντα
— of-God priests assessors to-himself having-made the seen
θεὸν πάσαις δεῖν ᾤετο θεραπείαις τιμᾶν. κἄπειτα
God with-all (one)-must he-thought services to-honor and-then
φραξάμενος ταῖς εἰς αὐτὸν ἀγαθαῖς ἐλπίσιν ὥρμητο
having-fenced-himself with-the toward him good hopes he-set-out
λοιπὸν τοῦ τυραννικοῦ πυρὸς τὴν ἀπειλὴν κατασβέσων.
at-last of-the tyrannical fire the threat to-quench

33 Καὶ γὰρ δὴ πολὺς ἦν ὁ ταύτῃ προαρπάσας
and for indeed much was the(-one) in-this-way having-seized-beforehand
τὴν βασιλεύουσαν πόλιν δυσσεβείαις καὶ ἀνοσιουργίαις
the reigning city with-impieties and unholy-deeds
ἐγχειρῶν, ὡς μηδὲν τόλμημα παρελθεῖν μιαρᾶς καὶ
setting-to-work so-that no outrage to-pass-by of-foul and
ἀκαθάρτου πράξεως. διαζευγνύς γέ τοι τῶν ἀνδρῶν τὰς
impure action separating at-least surely of-the men the
κατὰ νόμον γαμετάς, αὐταῖς ἐνυβρίζων αἰσχροτάτως
according-to law wives them outraging most-shamefully
τοῖς ἀνδράσιν ἀπέπεμπεν, καὶ ταῦτ' οὐκ ἀσήμοις οὐδ'
to-the husbands he-sent-back and these(-things) not to-obscure nor
ἀφανέσιν, ἀλλ' αὐτοῖς ἐμπαροινῶν τοῖς τὰ πρωτεῖα
unknown(-men) but on-the-very insulting-drunkenly the(-ones) the first-places
τῆς Ῥωμαίων συγκλήτου βουλῆς κατέχουσιν. μυρίαις μὲν
of-the of-Romans senate council holding countless indeed
οὖν ἐλευθέραις γυναιξὶν ἐνυβρίζων αἰσχρῶς, οὐκ εἶχεν ὅπως
then free women outraging shamefully not he-had how
ἐμπλήσειε τὴν ἀκρατῆ καὶ ἀκόλαστον αὐτοῦ ψυχήν. ὡς
he-might-satisfy the incontinent and unbridled his soul when
δὲ καὶ Χριστιαναῖς ἐνεχείρει, οὐκέθ' οἷός τε ἦν εὐπορίαν
and also Christian(-women) he-attempted no-longer able — he-was (a)-means
ταῖς μοιχείαις ἐπινοεῖν. θᾶττον γὰρ τὴν ψυχὴν θανατῶσαι
for-the adulteries to-devise sooner for the soul to-put-to-death
ἢ τὸ σῶμα αὐτῷ παρεχώρουν ἐπὶ φθορὰν αὗται.
than the body to-him they-yielded for corruption these

34 Μία γοῦν τις γυνὴ τῶν αὐτόθι συγκλητικῶν ἀνδρῶν
one at-any-rate (a)-certain woman of-the there senatorial men
τὴν ἔπαρχον διεπόντων ἐξουσίαν, ὡς ἐπιστάντας τῷ οἴκῳ
the prefectural administering authority when standing-at the house
τοὺς τὰ τοιαῦτα τῷ τυράννῳ διακονουμένους ἐπύθετο
the(-men) the such(-things) for-the tyrant serving learned

(Χριστιανὴ δ' ἦν), τόν τε ἄνδρα τὸν αὑτῆς ἔγνω
(a)-Christian and she-was the and husband the her-own she-knew
δέους ἕνεκα λαβόντας ἀπάγειν αὐτὴν κελεῦσαι, βραχὺν
of-fear because-of having-taken to-lead-away her to-have-bidden (a)-short
ὑποπαραιτησαμένη χρόνον ὡς ἂν τοῦ σώματος τὸν
having-begged-off time that — of-the body the
συνήθη περιβάλοιτο κόσμον, εἴσεισιν ἐπὶ τοῦ ταμείου καὶ
customary she-might-put-on adornment she-goes-in to the chamber and
μονωθεῖσα ξίφος κατὰ τοῦ στέρνου πήγνυσι, θανοῦσά τε
left-alone (a)-sword into the breast fixes having-died and
παραχρῆμα τὸν μὲν νεκρὸν τοῖς προαγωγοῖς καταλείπει,
at-once the indeed corpse to-the procurers leaves
ἔργοις δ' ἁπάσης γεγωνοτέροις φωνῆς, ὅτι μόνον χρῆμα
by-deeds and than-all more-loud-sounding voice that alone thing
ἀήττητόν τε καὶ ἀνώλεθρον ἡ βοωμένη παρὰ Χριστιανοῖς
invincible both and indestructible the celebrated among Christians
σωφροσύνη πέφυκεν, εἰς πάντας ἀνθρώπους τούς τε
chastity is to all men the(-ones) both
νῦν ὄντας καὶ τοὺς μετέπειτα γενησομένους ἐξέφηνεν.
now being and the(-ones) afterward to-be she-declared
αὕτη μεν οὖν τοιαύτη τις ὤφθη.
she indeed then such (a)-one was-seen
Τὸν δὲ τοιούτοις ἐπιτολμῶντα πάντες ὑπεπτηχότες, 35
the(-one) and such(-things) daring all cowering
δῆμοι καὶ ἄρχοντες, ἔνδοξοί τε καὶ ἄδοξοι, δεινῇ
peoples and rulers distinguished both and undistinguished by-terrible
κατετρύχοντο τυραννίδι, καὶ οὐδ' ἠρεμούντων καὶ τὴν
were-worn-down tyranny and not-even being-quiet and the
πικρὰν φερόντων δουλείαν ἀπαλλαγή τις ὅμως ἦν τῆς τοῦ
bitter bearing slavery release any nevertheless was of-the of-the
τυράννου φονώσης ὠμότητος. ἐπὶ σμικρᾷ γοῦν ἤδη ποτὲ
tyrant murderous cruelty on slight at-any-rate already once

προφάσει τὸν δῆμον εἰς φόνον τοῖς ἀμφ᾽ αὐτὸν δορυφόροις
pretext the people to slaughter to-the around him bodyguards
ἐξεδίδου, καὶ ἐκτείνετο μυρία πλήθη τοῦ δήμου Ῥωμαίων
he-gave-up and were-killed countless multitudes of-the people of-Romans
ἐπ᾽ αὐτοῦ μέσου τοῦ ἄστεος οὐ Σκυθῶν οὐδὲ βαρβάρων ἀλλ᾽
in the-very middle of-the city not of-Scythians nor of-barbarians but
αὐτῶν τῶν οἰκείων δόρασι καὶ πανοπλίαις. συγκλητικῶν
of-the-very the own(-men) by-spears and full-armor of-senators
γε μὴν φόνος ὅσος δι᾽ ἐπιβουλὴν ἐνηργεῖτο τῆς
at-least indeed slaughter how-much because-of plot was-carried-out of-the
ἑκάστου περιουσίας οὐδ᾽ ἐξαριθμήσασθαι δυνατόν, ἄλλοτε
each(-man's) property not-even to-enumerate possible at-one-time
ἄλλαις πεπλασμέναις αἰτίαις μυρίων ἀναιρουμένων.
by-other fabricated charges countless being-destroyed

36 Ἡ δὲ τῶν κακῶν τῷ τυράννῳ κορωνὶς ἐπὶ γοητείαν
the and of-the evils for-the tyrant crowning to sorcery
ἤλαυνε, μαγικαῖς ἐπινοίαις τοτὲ μὲν γυναῖκας ἐγκύμονας
drove by-magic devices at-times indeed women pregnant
ἀνασχίζοντος τοτὲ δὲ νεογνῶν σπλάγχνα βρεφῶν
ripping-open at-times and of-newborn entrails babes
διερευνωμένου λεόντάς τε κατασφάττοντος καί τινας
searching lions and slaughtering and some
ἀρρητοποιΐας ἐπὶ δαιμόνων προκλήσεις καὶ ἀποτροπιασμὸν
unspeakable-rites for of-demons invocations and averting
τοῦ πολέμου συνισταμένου· διὰ τούτων γὰρ τῆς
of-the war contriving through these for of-the
νίκης κρατήσειν ἤλπιζεν. οὕτω μὲν οὖν ἐπὶ Ῥώμης
victory to-win he-hoped thus indeed then at Rome
τυραννῶν οὐδ᾽ ἔστιν εἰπεῖν οἷα δρῶν τοὺς ὑπηκόους
tyrannizing not it-is-possible to-say what-sort doing the subjects
κατεδουλοῦτο, ὥστ᾽ ἤδη τῶν ἀναγκαίων τροφῶν ἐν ἐσχάτῃ
he-enslaved so-that now of-the necessary foods in utmost

σπάνει καὶ ἀπορίᾳ καταστῆναι, ὅσην ἐπὶ Ῥώμης οὐδ'
scarcity and want to-be-reduced such-as at Rome not-even
ἄλλοτέ ποτε οἱ καθ' ἡμᾶς γενέσθαι μνημονεύουσιν.
at-another ever the(-ones) in our(-time) to-have-happened remember

IV · THE MILVIAN BRIDGE

Armed with the saving sign, Constantine marched on Rome. God drew Maxentius out of the city and drowned him in the river as Pharaoh was drowned in the sea, so that the victors might sing the song of Moses. Entering Rome in triumph, Constantine set up a statue holding the cross, its inscription crediting the sign with the city's freedom. He kept the ministers of God at his table, gave lavishly to the poor, convened synods and bore their quarrels patiently, subdued the barbarians, escaped plots by a retired emperor and by kinsmen that God revealed to him in visions, and kept his tenth year with prayers, until evil news came from the east.

Ἀλλὰ γὰρ τούτων ἁπάντων οἶκτον ἀναλαβὼν Κωνσταντῖνος 37
but for of-these all pity having-taken-up Constantine
πάσαις παρασκευαῖς ὡπλίζετο κατὰ τῆς τυραννίδος.
with-all preparations armed-himself against the tyranny
προστησάμενος δῆτα ἑαυτοῦ θεὸν τὸν ἐπὶ πάντων σωτῆρά
having-set-before indeed himself God the over all savior
τε καὶ βοηθὸν ἀνακαλεσάμενος τὸν Χριστόν, αὐτοῦ τε
both and helper having-invoked — Christ his and
τὸ νικητικὸν τρόπαιον τὸ δὴ σωτήριον σημεῖον τῶν
the victorious trophy the indeed saving sign of-the
ἀμφ' αὐτὸν ὁπλιτῶν τε καὶ δορυφόρων προτάξας
around him hoplites both and bodyguards having-placed-in-front
ἡγεῖτο πανστρατιᾷ, Ῥωμαίοις τὰ τῆς ἐκ προγόνων
he-led with-the-whole-army for-Romans the(-things) of-the from ancestors
ἐλευθερίας προμνώμενος. Μαξεντίου δῆτα μᾶλλον ταῖς
freedom procuring Maxentius indeed rather in-the

κατὰ γοητείαν μηχαναῖς ἢ τῇ τῶν ὑπηκόων
according-to sorcery devices than in-the of-the subjects
ἐπιθαρσοῦντος εὐνοίᾳ, προελθεῖν δ' οὐδ' ὅσον πυλῶν τοῦ
trusting goodwill to-come-forth but not-even as-far-as (the)-gates of-the
ἄστεος ἐπιτολμῶντος, ὁπλιτῶν δ' ἀναρίθμῳ πλήθει καὶ
city daring of-hoplites but with-countless multitude and
στρατοπέδων λόχοις μυρίοις πάντα τόπον καὶ χώραν
of-camps with-companies countless every place and land
καὶ πόλιν ὅση τις ὑπ' αὐτῷ δεδούλωτο φραξαμένου,
and city as-much-as any under him had-been-enslaved having-fenced
ὁ τῆς ἐκ θεοῦ συμμαχίας ἀνημμένος βασιλεὺς ἐπιὼν
the of-the from God alliance fastened-on emperor attacking
πρώτῃ καὶ δευτέρᾳ καὶ τρίτῃ τοῦ τυράννου παρατάξει εὖ
(the)-first and second and third of-the tyrant battle-line well
μάλα τε πάσας ἐξ αὐτῆς πρώτης ὁρμῆς χειρωσάμενος,
very and all from the-very first onset having-subdued
πρόεισιν ἐπὶ πλεῖστον ὅσον τῆς Ἰταλῶν χώρας.
advances to most as-far-as of-the of-Italians land
38 Ἤδη δ' αὐτῆς Ῥώμης ἄγχιστα ἦν. εἶθ' ὡς μὴ τοῦ
already and to-the-very Rome nearest he-was then so-that not of-the
τυράννου χάριν Ῥωμαίοις πολεμεῖν ἐξαναγκάζοιτο, θεὸς
tyrant for-the-sake to-Romans to-make-war he-might-be-compelled God
αὐτὸς οἷα δεσμοῖς τισι τὸν τύραννον πορρωτάτω πυλῶν
himself as with-bonds some the tyrant farthest from-(the)-gates
ἐξέλκει, καὶ τὰ πάλαι δὴ κατ' ἀσεβῶν ὡς ἐν μύθου
drags-out and the(-things) of-old indeed against (the)-impious as in of-myth
λόγῳ παρὰ τοῖς πλείστοις ἀπιστούμενα, πιστά γε μὴν
account by the most disbelieved trustworthy at-least indeed
πιστοῖς ἱεραῖς βίβλοις ἐστηλιτευμένα, αὐταῖς ἐνεργείαις
to-the-faithful in-sacred books inscribed by-the-very deeds
ἅπασιν ἁπλῶς εἰπεῖν πιστοῖς ἅμα καὶ ἀπίστοις ὀφθαλμοῖς
to-all simply to-say faithful together and unfaithful with-eyes

τὰ παράδοξα θεωμένοις ἐπιστώσατο. ὥσπερ γοῦν ἐπ᾽
the wonders beholding he-confirmed as at-any-rate in
αὐτοῦ ποτε Μωϋσέως καὶ τοῦ θεοσεβοῦς Ἑβραίων γένους
the-very once of-Moses and of-the godly of-Hebrews race
„ἅρματα Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ ἔρριψεν εἰς
chariots of-Pharaoh and the power his he-cast into
θάλασσαν καὶ ἐπιλέκτους ἀναβάτας τριστάτας κατεπόντισεν
(the)-sea and chosen riders captains he-drowned
ἐν ἐρυθρᾷ“, κατὰ ταῦτα δὴ καὶ Μαξέντιος οἵ τ᾽
in (the)-Red according-to these(-things) indeed also Maxentius those and
ἀμφ᾽ αὐτὸν ὁπλῖται καὶ δορυφόροι „ἔδυσαν εἰς βυθὸν
around him hoplites and bodyguards sank into (the)-deep
ὡσεὶ λίθος“, ὀπηνίκα νῶτα δοὺς τῇ ἐκ θεοῦ μετὰ
like stone when (their)-backs having-given to-the from God with
Κωνσταντίνου δυνάμει τὸν πρὸ τῆς πορείας διήει
Constantine power the before the march he-was-crossing
ποταμόν, ὃν αὐτὸς σκάφεσι ζεύξας καὶ εὖ μάλα
river which he-himself with-boats having-yoked and well very
γεφυρώσας μηχανὴν ὀλέθρου καθ᾽ ἑαυτοῦ συνεπήξατο,
having-bridged (an)-engine of-destruction against himself fixed-together
ὧδέ πη ἑλεῖν τὸν τῷ θεῷ φίλον ἐλπίσας. ἀλλὰ
thus somehow to-catch the(-one) — to-God dear having-hoped but
τῷδε μὲν δεξιὸς παρῆν ὁ αὐτοῦ θεός, ὁ δ᾽ ἄρα
for-this-one indeed at-the-right-hand was-present — his God he but after-all
τὰς κρυφίους μηχανὰς καθ᾽ ἑαυτοῦ συνίστη. ἐφ᾽ ᾧ καὶ
the secret engines against himself was-constructing on which also
ἦν εἰπεῖν, ὡς ἄρα „λάκκον ὤρυξε καὶ ἀνέσκαψεν
it-was(-possible) to-say that after-all (a)-pit he-dug and dug-up
αὐτὸν καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο. ἐπιστρέψει
it and he-will-fall into (the)-hole which he-made will-return
ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ
the toil his onto head his and upon crown his

ἡ ἀδικία αὐτοῦ καταβήσεται.“ οὕτω δῆτα θεοῦ νεύματι τῶν
the injustice his will-come-down thus indeed of-God by-(the)-nod of-the
ἐπὶ τοῦ ζεύγματος μηχανῶν τοῦ τ᾽ ἐν αὐτοῖς ἐγκρύμματος
on the bridge engines of-the and in them ambush
διαλυθέντος οὐ κατὰ καιρὸν τὸν ἐλπισθέντα, ὑφιζάνει μὲν
having-been-loosed not at time the hoped-for sinks indeed
ἡ διάβασις χωρεῖ δ᾽ ἀθρόως αὖτανδρα κατὰ τοῦ βυθοῦ
the crossing goes and suddenly with-their-men down-into the deep
τὰ σκάφη, καὶ αὐτός γε πρῶτος ὁ δείλαιος εἶτα δὲ
the boats and he-himself at-least first the wretched(-man) then and
καὶ οἱ ἀμφ᾽ αὐτὸν ὑπασπισταί τε καὶ δορυφόροι, ᾗ τὰ
also the around him shield-bearers both and bodyguards as the
θεῖα προανεφώνει λόγια, „ἔδυσαν ὡσεὶ μόλιβδος ἐν ὕδατι
divine foretold oracles sank like lead in water
σφοδρῷ.“ ὥστ᾽ εἰκότως ἂν εἰ καὶ μὴ λόγοις ἔργοις δ᾽
mighty so-that fittingly — if even not in-words in-deeds but
οὖν ὁμοίως τοῖς ἀμφὶ τὸν μέγαν θεράποντα Μωϋσέα
then likewise the(-ones) around the great servant Moses
τοὺς παρὰ θεοῦ τὴν νίκην ἀραμένους αὐτὰ δὴ τὰ
the(-ones) from God the victory having-won the-very indeed the(-things)
κατὰ τοῦ πάλαι δυσσεβοῦς τυράννου ὧδέ πως ἀνυμνεῖν
against the of-old impious tyrant thus somehow to-hymn
καὶ λέγειν· „ᾄσωμεν τῷ κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται.
and to-say let-us-sing to-the Lord gloriously for he-has-been-glorified
ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν, βοηθὸς καὶ
horse and rider he-cast into (the)-sea helper and
σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν·“ καί „τίς ὅμοιός
protector he-became for-me for salvation and who like
σοι ἐν θεοῖς, κύριε, τίς ὅμοιός σοι; δεδοξασμένος ἐν
to-you among gods Lord who like to-you glorified among
ἁγίοις, θαυμαστὸς ἐν δόξαις, ποιῶν τέρατα.“
holy(-ones) wondrous in glories doing marvels

Ταῦτά τε καὶ ὅσα τούτοις ἀδελφὰ Κωνσταντῖνος τῷ 39
these(-things) both and as-many-as to-these akin Constantine to-the
πανηγεμόνι καὶ τῆς νίκης αἰτίῳ κατὰ καιρὸν ὁμοίως τῷ
ruler-of-all and of-the victory cause in season likewise to-the
μεγάλῳ θεράποντι ἔργοις αὐτοῖς ἀνυμνήσας, μετ' ἐπινικίων
great servant by-deeds very having-hymned with victory-songs
εἰσήλαυνεν εἰς τὴν βασιλεύουσαν πόλιν. πάντες δ' ἀθρόως
rode-in into the reigning city all and together
αὐτὸν οἵ τ' ἀπὸ τῆς συγκλήτου βουλῆς οἵ τ' ἄλλως
him those both from the senate council those and otherwise
ἐπιφανεῖς καὶ διάσημοι τῶν τῇδε, ὥσπερ ἐξ εἰργμῶν
illustrious and distinguished of-the(-ones) here as-if from prisons
ἠλευθερωμένοι σὺν παντὶ δήμῳ Ῥωμαίων φαιδροῖς
freed with all (the)-people of-Romans with-bright
ὄμμασιν αὐταῖς ψυχαῖς μετ' εὐφημιῶν καὶ ἀπλήστου
eyes with-the-very souls with acclamations and insatiable
χαρᾶς ὑπεδέχοντο, ὁμοῦ τ' ἄνδρες ἅμα γυναιξὶ καὶ
joy received together and men together-with women and
παισὶ καὶ οἰκετῶν μυρίοις πλήθεσι λυτρωτὴν αὐτὸν
children and of-servants with-countless multitudes redeemer him
σωτῆρά τε καὶ εὐεργέτην βοαῖς ἀσχέτοις ἐπεφώνουν. ὁ
savior both and benefactor with-cries unrestrained they-hailed he
δ' ἔμφυτον τὴν εἰς τὸν θεὸν εὐσέβειαν κεκτημένος μήδ'
but inborn the toward — God piety possessing neither
ἐπὶ ταῖς βοαῖς χαυνούμενος μήδ' ἐπαιρόμενος τοῖς ἐπαίνοις
at the cries being-puffed-up nor being-elated by-the praises
τῆς δ' ἐκ θεοῦ συνησθημένος βοηθείας, εὐχαριστήριον
of-the but from God being-aware help (a)-thanksgiving
ἀπεδίδου παραχρῆμα εὐχὴν τῷ τῆς νίκης αἰτίῳ.
rendered at-once prayer to-the of-the victory cause

40 Φωνῇ τε μεγάλῃ καὶ στήλαις ἅπασιν ἀνθρώποις τὸ
with-voice both great and with-monuments to-all men the
σωτήριον ἀνεκήρυττε σημεῖον, μέσῃ τῇ βασιλευούσῃ
saving he-proclaimed sign in-the-middle-of the reigning
πόλει μέγα τρόπαιον τουτὶ κατὰ τῶν πολεμίων ἐγείρας
city great trophy this against the enemies having-raised
διαρρήδην τε ἀνεξαλείπτοις ἐγχαράξας τύποις σωτήριον
expressly and in-ineffaceable having-engraved characters saving
τουτὶ σημεῖον τῆς Ῥωμαίων ἀρχῆς καὶ τῆς καθόλου
this sign of-the of-Romans rule and of-the universal
βασιλείας φυλακτήριον. αὐτίκα δ᾽ οὖν ὑψηλὸν δόρυ
empire safeguard at-once and then tall spear
σταυροῦ σχήματι ὑπὸ χεῖρα ἰδίας εἰκόνος ἐν ἀνδριάντι
of-(a)-cross in-shape under (the)-hand of-his-own image in (a)-statue
κατειργασμένης ἐν τῷ μάλιστα τῶν ἐπὶ Ῥώμης
wrought in the most of-the in Rome
δεδημοσιευμένῳ τόπῳ στήσαντας, αὐτὴν δὴ ταύτην
public place (them)-having-set-up itself indeed this
τὴν γραφὴν ῥήμασιν αὐτοῖς ἐγχαράξαι τῇ Ῥωμαίων
the inscription in-words very to-engrave in-the of-Romans
ἐγκελεύεται φωνῇ· „Τούτῳ τῷ σωτηριώδει σημείῳ τῷ
he-commands tongue by-this the salutary sign the
ἀληθεῖ ἐλέγχῳ τῆς ἀνδρείας τὴν πόλιν ὑμῶν ζυγοῦ
true proof of-the courage the city your from-(the)-yoke
τυραννικοῦ διασωθεῖσαν ἠλευθέρωσα· ἔτι μὴν καὶ τὴν
tyrannical saved I-freed further indeed also the
σύγκλητον καὶ τὸν δῆμον Ῥωμαίων τῇ ἀρχαίᾳ ἐπιφανείᾳ
senate and the people of-Romans to-the ancient distinction
καὶ λαμπρότητι ἐλευθερώσας ἀποκατέστησα.“
and splendor having-freed I-restored

Ὁ μὲν οὖν θεοφιλὴς βασιλεὺς ὧδέ πη τῇ τοῦ 41
the indeed then God-loving emperor thus somehow by-the of-the
νικοποιοῦ σταυροῦ ὁμολογίᾳ λαμπρυνόμενος σὺν παρρησίᾳ
victory-making cross confession made-splendid with freedom-of-speech
πάσῃ τὸν υἱὸν τοῦ θεοῦ Ῥωμαίοις αὐτοῖς γνώριμον ἐποίει.
all the son — of-God to-Romans themselves known made
πάντες δ' ἀθρόως οἱ τὴν πόλιν οἰκοῦντες αὐτῇ
all and together the(-ones) the city inhabiting with-the-very
συγκλήτῳ καὶ δήμων πλήθεσιν, ὡσανεὶ πικρᾶς καὶ
senate and of-peoples multitudes as-if from-bitter and
τυραννικῆς ἀναπνεύσαντες δυναστείας, φωτὸς ἀπολαύειν
tyrannical having-breathed-again domination of-light to-enjoy
ἐδόκουν καθαρωτέρου αὐγῶν καινοῦ τε καὶ νέου βίου
seemed purer of-rays new both and new of-life
παλιγγενεσίας μετέχειν. ἔθνη τε πάνθ' ὅσα ὠκεανῷ τῷ
rebirth to-share nations and all as-many-as by-ocean the
κατὰ δύοντα ἥλιον περιωρίζετο, τῶν πρὶν συνεχόντων
toward setting sun were-bounded from-the before besetting
κακῶν ἠλευθερωμένα, πανηγύρεσι φαιδραῖς ἐνευφραινόμενα
evils freed in-festivals bright rejoicing
τὸν καλλίνικον τὸν θεοσεβῆ τὸν κοινὸν εὐεργέτην
the gloriously-victorious(-one) the godly(-one) the common benefactor
ἀνυμνοῦντα διετέλει, φωνῇ τε μιᾷ καὶ ἑνὶ στόματι
hymning continued with-voice both one and with-one mouth
κοινὸν ἀγαθὸν ἀνθρώποις ἐκ θεοῦ χάριτος οἱ πάντες
(a)-common good for-men from of-God grace they all
Κωνσταντῖνον ὡμολόγουν ἐπιλάμψαι. ἥπλοῦτο δὲ καὶ
Constantine confessed to-have-shone-forth was-spread-out and also
βασιλικὸν ἁπανταχοῦ γράμμα, τοῖς μὲν τὰς ὑπάρξεις
imperial everywhere (a)-writing to-the(-ones) indeed the possessions
ἀφαρπαγεῖσι τὴν τῶν οἰκείων ἀπόλαυσιν δωρούμενον
robbed-of the of-the own enjoyment granting

τοὺς δ' ἄδικον ἐξορίαν ὑπομείναντας ἐπὶ τὰς σφῶν
the(-ones) but unjust exile having-endured to the their-own
ἀνακαλούμενον ἑστίας, ἠλευθέρου δὲ καὶ δεσμῶν παντός
recalling hearths he-freed and also from-bonds every
τε κινδύνου καὶ δέους τοὺς ὑπὸ τῆς τυραννικῆς
both danger and fear the(-ones) by the tyrannical
ὠμότητος τούτοις ὑποβεβλημένους.
cruelty to-these subjected

42 Βασιλεὺς δ' αὐτὸς τοὺς τοῦ θεοῦ λειτουργοὺς συγκαλῶν,
emperor and himself the — of-God ministers calling-together
θεραπείας αὐτοὺς διὰ τιμῆς ἄγων τῆς ἀνωτάτω
of-attention them through honor treating the highest
ἠξίου, ἔργοις καὶ λόγοις τοὺς ἄνδρας ὡσανεὶ τῷ
he-deemed-worthy in-deeds and words the men as-though —
αὐτοῦ θεῷ καθιερωμένους φιλοφρονούμενος. ὁμοτράπεζοι
his to-God consecrated treating-kindly table-companions
δῆτα συνῆσαν αὐτῷ ἄνδρες εὐτελεῖς μὲν τῇ τοῦ σχήματος
indeed were-with him men plain indeed in-the of-the dress
ὀφθῆναι περιβολῇ, ἀλλ' οὐ τοιοῦτοι καὶ αὐτῷ νενομισμένοι,
to-be-seen clothing but not such also by-him considered
ὅτι μὴ τὸν ὁρώμενον τοῖς πολλοῖς ἄνθρωπον τὸν δ'
since not the seen by-the many man the(-one) but
ἐν ἑκάστῳ τιμώμενον ἐποπτεύειν ἐδόκει θεόν. ἐπήγετο δ'
in each honored to-behold he-seemed God he-took-along and
αὐτοὺς καὶ ὅποι ποτὲ στέλλοιτο πορείαν, κἀν τούτῳ
them also wherever ever he-might-set-out (a)-march and-in this
τὸν θεραπευόμενον πρὸς αὐτῶν δεξιὸν αὐτῷ παρεῖναι
the(-one) served by them at-the-right-hand for-him to-be-present
πειθόμενος. ναὶ μὴν καὶ ταῖς ἐκκλησίαις τοῦ θεοῦ πλουσίας
persuaded yes indeed also to-the churches — of-God rich
τὰς παρ' ἑαυτοῦ παρεῖχεν ἐπικουρίας, ἐπαύξων μὲν καὶ εἰς
the from himself he-furnished helps increasing indeed and to

ὕψος αἴρων τοὺς εὐκτηρίους οἴκους, πλείστοις δ' ἀναθήμασι
height raising the of-prayer houses with-very-many and dedications
τὰ σεμνὰ τῶν τῆς ἐκκλησίας καθηγιασμένων φαιδρύνων.
the august(-things) of-the of-the church consecrated making-bright
Παντοίας τε χρημάτων διαδόσεις τοῖς ἐνδεέσι ποιούμενος, 43
all-kinds-of and of-money distributions to-the needy making
τούτων δ' ἐκτὸς καὶ τοῖς ἔξωθεν αὐτῷ προσιοῦσι
of-these but apart also to-the(-ones) from-outside to-him approaching
φιλάνθρωπον καὶ εὐεργετικὸν παρέχων ἑαυτόν, τοῖς μὲν
humane and beneficent offering himself to-the(-ones) indeed
ἐπ' ἀγορᾶς μεταιτοῦσιν οἰκτροῖς τισι καὶ ἀπερριμμένοις
in (the)-marketplace begging pitiable some and cast-out
οὐ χρημάτων μόνον οὐδέ γε τῆς ἀναγκαίας τροφῆς ἀλλὰ
not of-money only nor at-least of-the necessary food but
καὶ σκέπης εὐσχήμονος τοῦ σώματος προὐνόει, τοῖς
also of-covering decent of-the body he-took-forethought to-the(-ones)
δ' εὖ μὲν τὰ πρῶτα γεγονόσι βίου δὲ μεταβολῇ
but well indeed at-the first having-been-born of-life but by-change
δυστυχήσασι δαψιλεστέρας παρεῖχε τὰς χορηγίας·
having-been-unfortunate more-abundant he-furnished the supplies
βασιλικῷ γε τοι φρονήματι μεγαλοπρεπεῖς τὰς εὐποιίας
with-imperial at-least surely spirit magnificent the benefactions
τοῖς οὕτως ἔχουσι παρέχων, τοῖς μὲν ἀγρῶν κτήσεις
to-the(-ones) thus being furnishing to-some indeed of-fields possessions
ἐδωρεῖτο τοὺς δὲ διαφόροις ἀξιώμασιν ἐτίμα. καὶ τῶν
he-gave others and with-various dignities he-honored and of-the(-ones)
μὲν ὀρφανίαν δυστυχησάντων ἐν πατρὸς ἐπεμέλετο χώρᾳ,
indeed orphanhood having-suffered in of-father he-took-care place
γυναικῶν δὲ χηρῶν τὸ ἀπερίστατον ἀνακτώμενος δι'
of-women and widowed the helplessness restoring through
οἰκείας ἐτημέλει κηδεμονίας, ὥστ' ἤδη καὶ γάμοις
own he-tended care so-that already even in-marriages

ζευγνύναι γνωρίμοις αὐτῷ καὶ πλουσίοις ἀνδράσι κόρας
to-join to-acquaintances to-him and rich men girls
ἐρημίᾳ γονέων ὀρφανωθείσας· καὶ ταῦτ' ἔπραττεν
by-bereavement of-parents orphaned and these(-things) he-did
προδιδοὺς ταῖς γαμουμέναις ὅσα ἐχρῆν τοῖς
giving-beforehand to-the brides as-much-as it-was-needful to-the(-ones)
λαμβάνουσι πρὸς γάμου κοινωνίαν εἰσφέρειν. ὥσπερ δ'
taking for of-marriage partnership to-bring as but
ἀνίσχων ὑπὲρ γῆς ἥλιος ἀφθόνως τοῖς πᾶσι τῶν τοῦ
rising over earth (the)-sun ungrudgingly to-the all of-the of-the
φωτὸς μεταδίδωσι μαρμαρυγῶν, κατὰ τὰ αὐτὰ δὴ καὶ
light imparts rays in the same(-way) indeed also
Κωνσταντῖνος ἅμα ἡλίῳ ἀνίσχοντι τῶν βασιλικῶν
Constantine together-with (the)-sun rising from-the imperial
οἴκων προφαινόμενος, ὡσανεὶ συνανατέλλων τῷ κατ'
houses appearing as-though rising-together with-the in
οὐρανὸν φωστῆρι, τοῖς εἰς πρόσωπον αὐτῷ παριοῦσιν
heaven luminary to-the(-ones) to face to-him coming-by
ἅπασι φωτὸς αὐγὰς τῆς οἰκείας ἐξέλαμπε καλοκαγαθίας.
all of-light rays of-the own shone-forth goodness
οὐκ ἦν ἁπλῶς αὐτῷ πλησίον γενέσθαι μὴ οὐχὶ
not it-was(-possible) simply for-him near to-come not not
ἀγαθοῦ τινος ἀπολαύσαντα, οὐδ' ἦν ποτ' ἐκπεσεῖν
of-good something having-enjoyed nor it-was(-possible) ever to-fall-from
ἐλπίδος χρηστῆς τοῖς τῆς παρ' αὐτοῦ τυχεῖν ἐπικουρίας
hope good for-the(-ones) the from him to-obtain help
προσδοκήσασι.
having-expected

44 Κοινῶς μὲν οὖν πρὸς ἅπαντας ἦν τοιοῦτος. ἐξαίρετον δὲ
in-common indeed then toward all he-was such special but
τῇ ἐκκλησίᾳ τοῦ θεοῦ τὴν παρ' αὐτοῦ νέμων φροντίδα,
to-the church — of-God the from him distributing care

διαφερομένων τινῶν πρὸς ἀλλήλους κατὰ διαφόρους χώρας,
differing some toward one-another in various lands
οἷά τις κοινὸς ἐπίσκοπος ἐκ θεοῦ καθεσταμένος συνόδους
as some common bishop by God appointed synods
τῶν τοῦ θεοῦ λειτουργῶν συνεκρότει. ἐν μέσῃ δὲ τῇ
of-the — of-God ministers he-convened in middle and the
τούτων διατριβῇ οὐκ ἀπαξιῶν παρεῖναί τε καὶ συνιζάνειν
of-these meeting not disdaining to-be-present both and to-sit-together
κοινωνὸς τῶν ἐπισκοπουμένων ἐγίνετο, τὰ τῆς
sharer of-the(-things) under-consideration he-became the(-things) of-the
εἰρήνης τοῦ θεοῦ βραβεύων τοῖς πᾶσι, καθῆστό τε
peace — of-God arbitrating for-the all he-sat and
μέσος ὡσεὶ καὶ τῶν πολλῶν εἷς, δορυφόρους μὲν καὶ
in-the-middle as-if even of-the many one bodyguards indeed and
ὁπλίτας καὶ πᾶν τὸ σωματοφυλάκων γένος ἀποσεισάμενος,
hoplites and all the of-guards race having-shaken-off
τῷ δὲ τοῦ θεοῦ φόβῳ κατημφιεσμένος τῶν τε πιστῶν
with-the but — of-God fear clothed of-the and faithful
ἑταίρων τοῖς εὐνουστάτοις περιεστοιχισμένος. εἶθ' ὅσους
companions by-the most-loyal surrounded then as-many-as
μὲν ἑώρα τῇ κρείττονι γνώμῃ πειθηνίους πρὸς εὐσταθῆ
indeed he-saw to-the better judgment obedient toward stable
τε καὶ ὁμογνώμονα παρεσκευασμένους τρόπον εὖ μάλα
both and like-minded disposed way well very
τούτους ἀπεδέχετο, χαίροντα δεικνὺς ἑαυτὸν τῇ κοινῇ
these(-ones) he-approved rejoicing showing himself in-the common
πάντων ὁμονοίᾳ, τοὺς δ' ἀπειθῶς ἔχοντας ἀπεστρέφετο.
of-all concord the(-ones) but disobediently being he-turned-away-from
Ἤδη δέ τινας καὶ κατ' αὐτοῦ τραχυνομένους ἔφερεν 45
already and some even against him being-harsh he-bore
ἀνεξικάκως, ἠρέμα καὶ πραείᾳ φωνῇ σωφρονεῖν ἀλλὰ
forbearingly quietly and with-gentle voice to-be-sober but

μὴ στασιάζειν καὶ τούτοις ἐγκελευσάμενος. τούτων δ'
not to-be-factious also to-these having-exhorted of-these and
οἱ μὲν ἀπηλλάττοντο καταιδούμενοι τὰς παραινέσεις,
some indeed departed feeling-shame-at the exhortations
τοὺς δ' ἀνιάτως πρὸς σώφρονα λογισμὸν ἔχοντας τῷ
the(-ones) but incurably toward sober reasoning being —
θεῷ παραδιδοὺς ἠφίει, μηδὲν μηδαμῶς αὐτὸς κατά τινος
to-God handing-over he-let-go nothing in-any-way himself against anyone
λυπηρὸν διανοούμενος. ἔνθεν εἰκότως τοὺς ἐπὶ τῆς Ἄφρων
grievous intending whence fittingly the(-ones) in the of-Africans
χώρας διαστασιάζοντας εἰς τοσοῦτον συνέβαινεν ἐπιτριβῆς
land quarreling to so-great it-happened of-ruin
ἐλαύνειν ὡς καὶ τολμηροῖς τισιν ἐγχειρεῖν, πονηροῦ τινος
to-drive that even reckless some to-attempt wicked some
ὡς ἔοικε δαίμονος βασκαίνοντος τῇ τῶν παρόντων ἀγαθῶν
as it-seems demon envying the of-the present goods
ἀφθονίᾳ παρορμῶντός τ' εἰς ἀτόπους πράξεις τοὺς ἄνδρας,
abundance inciting and to outrageous deeds the men
ὡς ἂν κινήσειε κατ' αὐτῶν τὸν βασιλέως θυμόν. οὐ μὴν
that — he-might-stir-up against them the emperor's wrath not however
προὐχώρει τῷ φθόνῳ, γέλωτα τιθεμένου τοῦ βασιλέως
it-succeeded for-the envy laughter making the emperor
τὰ πραττόμενα καὶ τὴν ἐκ τοῦ πονηροῦ κίνησιν
the(-things) being-done and the from the wicked(-one) motion
συνιέναι φάσκοντος· μὴ γὰρ σωφρονούντων εἶναι ἀνδρῶν
to-perceive saying not for of-sober to-be men
τὰ τολμώμενα ἀλλ' ἢ πάντη παρακοπτόντων ἢ
the(-things) dared but either wholly deranged or
ὑπὸ τοῦ πονηροῦ δαίμονος οἰστρουμένων, οὓς ἐλεεῖσθαι
by the wicked demon goaded whom to-be-pitied
μᾶλλον ἢ κολάζεσθαι χρῆναι· αὐτὸν δὲ κατὰ μηδένα
rather than to-be-punished (one)-must himself but in no

τρόπον ζημιοῦσθαι πρὸς τῆς τῶν ἀφραινόντων μανίας,
way to-be-harmed by the of-the senseless madness
ἢ ὅσον τὸ συμπαθεῖν αὐτοῖς ὑπερβολῇ φιλανθρωπίας.
except as-much-as the to-sympathize with-them by-excess of-humanity
Ὧδε μὲν οὖν τὸν τῶν ἁπάντων ἔφορον θεὸν διὰ 46
thus indeed then the of-the all overseer God through
πάσης βασιλεὺς θεραπεύων πράξεως ἄτρυτον ἐποιεῖτο
every emperor serving action unwearied he-made
τὴν τῶν ἐκκλησιῶν αὐτοῦ πρόνοιαν. θεὸς δ' αὐτὸν
the of-the churches his providence God and him
ἀμειβόμενος πάντα γένη βαρβάρων τοῖς αὐτοῦ καθυπέταττε
requiting all races of-barbarians to-the his subjected
ποσὶν ὡς πάντη καὶ πανταχοῦ τρόπαια κατ' ἐχθρῶν
feet so-that everywhere and on-every-side trophies against enemies
ἐγείρειν, νικητήν τ' αὐτὸν παρὰ τοῖς πᾶσιν ἀνεκήρυττεν
to-raise victor and him among the all he-proclaimed
ἐπίφοβόν τε ἐχθροῖς καὶ πολεμίοις καθίστη, οὐκ ὄντα
fearsome and to-enemies and foes he-made not being
τὴν φύσιν τοιοῦτον ἡμερώτατον δὲ καὶ πραότατον καὶ
the nature such most-gentle but and most-mild and
φιλανθρωπότατον εἴ τις πώποτε καὶ ἄλλος.
most-humane if anyone ever also other
Ἐν τούτοις δ' ὄντι αὐτῷ μηχανὴν θανάτου συρράπτων 47
in these(-things) and being for-him (a)-device of-death stitching-together
ἁλοὺς τῶν τὴν ἀρχὴν ἀποθεμένων ὁ δεύτερος αἰσχίστῳ
caught of-the(-ones) the rule having-laid-down the second most-shameful
καταστρέφει θανάτῳ. πρώτου δὲ τούτου τὰς ἐπὶ τιμῇ
ends by-death of-first and this(-one) the for honor
γραφὰς ἀνδριάντας τε καὶ ὅσα ἄλλα τοιαῦτα ἐπ'
paintings statues both and as-many-as other such for
ἀναθέσει τιμῆς νενόμιστο πανταχοῦ γῆς ὡς ἀνοσίου καὶ
dedication of-honor was-customary everywhere of-earth as of-unholy and

δυσσεβοῦς καθῄρουν. εἶτα δὲ καὶ μετὰ τοῦτον τῶν
impious they-pulled-down then and also after this(-one) of-the(-ones)
πρὸς γένους ἕτεροι κρυφίους αὐτῷ συρράπτοντες ἐπιβουλὰς
by birth others secret for-him stitching-together plots
ἡλίσκοντο, παραδόξως τοῦ θεοῦ τὰς τούτων ἁπάντων βουλὰς
were-caught wondrously — God the of-these all counsels
τῷ αὐτοῦ θεράποντι διὰ φασμάτων ἐκκαλύπτοντος.
to-the his servant through visions uncovering
καὶ γὰρ δὴ καὶ θεοφανείας αὐτὸν πολλάκις ἠξίου,
and for indeed also of-theophanies him often he-deemed-worthy
παραδοξότατα θείας ὄψεως ἐπιφαινομένης αὐτῷ παντοίας τε
most-wondrously divine vision appearing to-him all-kinds-of and
παρεχούσης πραγμάτων ἔσεσθαι μελλόντων προγνώσεις. τὰ
furnishing of-things to-be about-to foreknowledges the
μὲν οὖν ἐκ θεοῦ χάριτος ἀδιήγητα θαύματα οὐδ' ἔστι
indeed then from of-God grace indescribable wonders not-even it-is(-possible)
λόγῳ περιλαβεῖν, ὅσα περ θεὸς αὐτὸς τῷ αὐτοῦ
in-word to-comprise as-many-as indeed God himself to-the his
θεράποντι παρέχειν ἠξίου· οἷς δὴ πεφραγμένος ἐν
servant to-furnish deemed-worthy with-which indeed fenced in
ἀσφαλεῖ λοιπὸν τὴν ζωὴν διῆγεν, χαίρων μὲν ἐπὶ τῇ τῶν
safety thenceforth the life he-led rejoicing indeed at the of-the
ἀρχομένων εὐνοίᾳ, χαίρων δὲ καὶ ἐφ' οἷς τοὺς ὑπ' αὐτῷ
ruled goodwill rejoicing and also at what the(-ones) under him
πάντας εὔθυμον διατελοῦντας ἑώρα βίον, ὑπερβαλλόντως δὲ
all cheerful continuing he-saw life exceedingly and
ἐνευφραινόμενος τῇ τῶν ἐκκλησιῶν τοῦ θεοῦ φαιδρότητι.
delighting in-the of-the churches — of-God brightness
48 Οὕτω δ' ἔχοντι δεκαέτης αὐτῷ τῆς βασιλείας ἠνύετο
thus and being ten-year for-him of-the reign was-completed
χρόνος· ἐφ' ᾧ δὴ πανδήμους ἐκτελῶν ἑορτὰς τῷ
time on which indeed public celebrating festivals to-the

πάντων βασιλεῖ θεῷ εὐχαρίστους εὐχὰς ὥσπερ τινὰς
of-all king God thankful prayers as some
ἀπύρους καὶ ἀκάπνους θυσίας ἀνεπέμπετο. ἀλλ᾽ ἐπὶ μὲν
fireless and smokeless sacrifices he-sent-up but at indeed
τούτοις χαίρων διετέλει, οὐ μὴν καὶ ἐφ᾽ οἷς ἀκοῇ
these(-things) rejoicing he-continued not however also at what by-hearing
περὶ τῶν κατὰ τὴν ἑῴαν τρυχομένων ἐθνῶν ἐπυνθάνετο.
about the in the east being-worn-down nations he-learned

V · LICINIUS

In the east Licinius, Constantine's brother-in-law, turned on him and on the church. He forbade bishops to meet, barred women from worship with men, drove Christians from the palace and the army, overturned the old laws on marriage and inheritance, and at last set upon the bishops themselves, forgetting what he had seen: God struck the first persecutor with a rotting disease, and the second, who had blinded Christians, with fire and blindness, until each recanted.

Δεινὸς γάρ τις αὐτῷ κἀνταῦθα τῇ τ᾽ ἐκκλησία τοῦ θεοῦ 49
terrible for some for-him even-there to-the and church — of-God
τοῖς τε λοιποῖς ἐπαρχιώταις ἐφεδρεύειν ἀπηγγέλλετο θήρ,
to-the and rest provincials to-lie-in-wait was-reported beast
τοῦ πονηροῦ δαίμονος ὥσπερ ἁμιλλωμένου τοῖς παρὰ
of-the wicked demon as-if vying with-the(-things) by
τῷ θεοφιλεῖ πραττομένοις τἀναντία κατεργάζεσθαι, ὡς
the God-loving(-man) done the-opposite to-work so-that
δοκεῖν τὴν σύμπασαν ὑπὸ Ῥωμαίοις ἀρχὴν δυσὶ τμήμασιν
to-seem the whole under Romans rule in-two sections
ἀποληφθεῖσαν ἐοικέναι νυκτὶ καὶ ἡμέρᾳ, σκότους μὲν τοῖς
divided to-resemble night and day of-darkness indeed to-the(-ones)
τὴν ἑῴαν λαχοῦσιν ἐπιπολάζοντος ἡμέρας δὲ τηλαυγεστάτης
the east having-obtained spreading-over of-day but most-far-shining

τοῖς τῆς θατέρας μοίρας οἰκήτορσι καταλαμπούσης· οἷς
for-the of-the other portion inhabitants shining-on to-whom
μυρίων ἀγαθῶν ἐκ θεοῦ πρυτανευομένων, οὐκ ἦν τῷ
of-countless goods from God being-dispensed not was to-the
μισοκάλῳ φθόνῳ φορητὴ ἡ τῶν γινομένων θέα, ὥσπερ
hater-of-good envy bearable the of-the(-things) happening sight as
οὖν οὐδὲ τῷ θάτερον μέρος τῆς οἰκουμένης καταπονοῦντι
then not-even to-the the-other part of-the inhabited-world oppressing
τυράννῳ, ὃς εὖ φερομένης τῆς ἀρχῆς αὐτῷ Κωνσταντίνου
tyrant who well going the rule for-him of-Constantine
τε τοσούτου βασιλέως ἐπιγαμβρίας ἠξιωμένος,
and so-great emperor alliance-by-marriage having-been-deemed-worthy
μιμήσεως μὲν τοῦ θεοφιλοῦς ἀπελιμπάνετο τῆς δὲ τῶν
of-imitation indeed of-the God-loving(-man) fell-short of-the but of-the
δυσσεβῶν προαιρέσεως ἐζήλου τὴν κακοτροπίαν, καὶ ὧν
impious choice he-emulated the depravity and whose
τοῦ βίου τὴν καταστροφὴν ἐπεῖδεν αὐτοῖς ὀφθαλμοῖς
of-the life the ruin he-had-seen with-the-very eyes
τούτων ἕπεσθαι τῇ γνώμῃ μᾶλλον ἢ ταῖς τοῦ κρείττονος
these(-men) to-follow the judgment rather than the of-the stronger
φιλικαῖς δεξιαῖς ἐπειρᾶτο.
friendly right-hands he-tried

50 Πόλεμον δ' οὖν ἄσπονδον πρὸς τὸν εὐεργέτην αἴρεται,
war and then truceless against the benefactor he-raises
οὐ φιλικῶν νόμων φεισάμενος, οὐχ ὁρκωμοσιῶν οὐ
not friendly laws having-spared not oaths not
συγγενείας οὐ συνθηκῶν μνήμην ἐν διανοίᾳ λαβών. ὁ μὲν
kinship not treaties memory in mind having-taken he indeed
γὰρ φιλανθρωπότατος εὐνοίας αὐτῷ παρέχων ἀληθοῦς
for most-humane of-goodwill to-him furnishing true
σύμβολα, τῆς ἐκ πατέρων συγγενείας βασιλικοῦ τ'
tokens of-the from fathers kinship of-imperial and

ἀνέκαθεν αἵματος κοινωνὸν γενέσθαι ἠξίου γάμῳ
from-of-old blood sharer to-become he-deemed-worthy by-marriage
τὴν ἀδελφὴν συνάψας, τῆς τε κατὰ πάντων ἀπολαύειν
the sister having-joined of-the and over all to-enjoy
ἀρχῆς τῶν τὴν ἑῴαν λαχόντων παρεῖχε τὴν ἐξουσίαν,
rule of-the(-ones) the east having-obtained he-furnished the authority
ὁ δὲ τούτοις τἀναντία γινώσκων παντοίας κατὰ τοῦ
he but to-these the-opposite resolving all-kinds-of against the
κρείττονος μηχανὰς συνεσκευάζετο ἄλλοτ' ἄλλους ἐπινοῶν
stronger devices contrived at-one-time other devising
ἐπιβουλῆς τρόπους, ὡς ἂν κακοῖς τὸν εὐεργέτην ἀμείψοιτο.
of-plot ways that — with-evils the benefactor he-might-requite
καὶ τὰ μὲν πρῶτα φιλίαν ὑποκοριζόμενος δόλῳ καὶ
and at-the indeed first friendship pretending with-guile and
ἀπάτῃ πάντ' ἔπραττεν, ἐφ' οἷς ἐτόλμα λήσεσθαι
deceit all(-things) he-did at which he-dared to-escape-notice
ἐλπίζων, τῷ δὲ ἄρα θεὸς τὰς ἐν σκότῳ μηχανωμένας
hoping for-him but after-all God the in darkness devised
ἐπιβουλὰς καταφώρους ἐποίει. ὁ δ' ὡς ἐπὶ τοῖς
plots detected made he but when on the
πρώτοις ἠλίσκετο, ἐπὶ δευτέρας ἀπάτας ἐχώρει, νῦν μὲν
first he-was-caught to second deceits he-advanced now indeed
φιλικὰς προτείνων δεξιὰς νῦν δὲ συνθήκας ὁρκωμοσίοις
friendly holding-out right-hands now but treaties with-oaths
πιστούμενος. εἶτ' ἀθρόως ἀθετῶν τὰ δεδογμένα, καὶ
confirming then suddenly setting-aside the(-things) resolved and
αὖθις ἀντιβολῶν διὰ πρεσβείας, καὶ πάλιν ἀσχημονῶν
again entreating through embassy and again behaving-disgracefully
ταῖς ψευδολογίαις, τέλος προφανῆ πόλεμον ἀνακηρύττει,
with-the lies at-last open war he-proclaims

ἀπονοίᾳ τε λογισμοῦ κατ᾽ αὐτοῦ λοιπὸν τοῦ θεοῦ ὃν
with-madness and of-reasoning against very thenceforth — God whom
ἠπίστατο σέβειν τὸν βασιλέα παρατάττεσθαι ὡρμᾶτο.
he-knew to-revere the emperor to-array-himself he-rushed
51 Πρώτους γέ τοι τοὺς ὑπ᾽ αὐτῷ τοῦ θεοῦ λειτουργοὺς
first at-least surely the(-ones) under him — of-God ministers
μηδὲν πώποτε πλημμελὲς περὶ τὴν ἀρχὴν διαπονηθέντας
nothing ever offensive regarding the rule having-wrought
ἠρέμα τέως περιειργάζετο, προφάσεις κατ᾽ αὐτῶν
quietly for-a-while he-meddled-with pretexts against them
κακοτέχνους θηρώμενος. μηδεμιᾶς γε μὴν εὐπορῶν
malicious hunting no at-least indeed having-at-hand
αἰτίας μηδ᾽ ἔχων ὅπη τοῖς ἀνδράσι καταμέμψοιτο, νόμον
cause nor having where the men he-might-blame (a)-law
ἐκπέμπει διακελευόμενον· μηδαμῆ μηδαμῶς ἀλλήλοις
he-sends-out commanding nowhere in-no-way with-one-another
ἐπικοινωνεῖν τοὺς ἐπισκόπους, μηδ᾽ ἐπιδημεῖν αὐτῶν
to-communicate the bishops nor to-visit of-them
ἐξεῖναί τινι τῇ τοῦ πέλας ἐκκλησίᾳ, μηδέ γε
to-be-allowed for-anyone to-the of-the neighbor church nor at-least
συνόδους μηδὲ βουλὰς καὶ διασκέψεις περὶ τῶν λυσιτελῶν
synods nor councils and deliberations about the profitable(-things)
ποιεῖσθαι. τὸ δ᾽ ἦν ἄρα πρόφασις τῆς καθ᾽ ἡμῶν
to-hold this but was after-all (a)-pretext of-the against us
ἐπηρείας. ἢ γὰρ παραβαίνοντας τὸν νόμον ἐχρῆν
abuse either for transgressing the law it-was-necessary
ὑποβάλλεσθαι τιμωρίᾳ, ἢ πειθαρχοῦντας τῷ παραγγέλματι
to-be-subjected to-punishment or obeying the command
παραλύειν ἐκκλησίας θεσμούς· ἄλλως γὰρ οὐ δυνατὸν τὰ
to-undo of-(the)-church ordinances otherwise for not possible the
μεγάλα τῶν σκεμμάτων ἢ διὰ συνόδων κατορθώσεως
great of-the questions than through synods success

τυγχάνειν· ἐπισκόπων γοῦν οὐδ' ἑτέρως ἢ μόνον
to-obtain of-bishops at-any-rate not-even otherwise than only
οὕτω γίνεσθαι τὰς χειροτονίας θεσμοὶ προδιειλήφασι θείοι.
thus to-take-place the ordinations ordinances have-prescribed divine
καὶ ἄλλως δ' ὁ θεομισὴς τῷ θεοφιλεῖ τἀναντία
and otherwise but the God-hated(-man) to-the God-loving(-man) the-opposite
πράττειν ἐγνωκὼς τὰ τοιάδε παρήγγελλεν. ὁ μὲν
to-do having-resolved the such(-things) commanded the(-one) indeed
γὰρ τοὺς ἱερεῖς τοῦ θεοῦ τῇ πρὸς τὸν ἱερὸν νόμον
for the priests — of-God by-the toward the sacred law
τιμῇ, εἰρήνης τε καὶ ὁμονοίας ἐξάρχων, ἐπὶ ταὐτὸν
honor of-peace both and concord leading to the-same
συνῆγεν, ὁ δὲ τὰ καλὰ παραλύειν μηχανώμενος
gathered the(-other) but the good(-things) to-undo contriving
διασκεδάζειν τὴν σύμφωνον ἁρμονίαν ἐπειρᾶτο.
to-scatter the harmonious accord tried
Εἶτ' ἐπειδήπερ ὁ τῷ θεῷ φίλος εἴσω βασιλικῶν 52
then since the — to-God dear(-one) within imperial(-houses)
τοὺς θεράποντας τοῦ θεοῦ δέχεσθαι ἠξίου, τἀναντία
the servants — of-God to-receive deemed-it-worthy the-opposite
φρονῶν ὁ θεομισὴς ἅπαντας τοὺς ὑπ' αὐτῷ θεοσεβεῖς
minding the God-hated(-man) all the under him godly
βασιλικῶν ἀπήλαυνεν οἴκων, αὐτούς τε μάλιστα τοὺς ἀμφ'
from-imperial drove houses very and especially the around
αὐτὸν πιστοτάτους καὶ εὐνουστάτους ἄνδρας εἰς ἐξορίαν
him most-faithful and most-loyal men to exile
ἐδίδου, τούς τ' ἐκ προτέρων ἀνδραγαθημάτων τιμῆς
gave the(-ones) and from former brave-deeds of-honor
καὶ ἀξιωμάτων παρ' αὐτῷ λαχόντας δουλεύειν ἑτέροις
and of-dignities with him having-obtained to-serve others
οἰκετικάς τε ποιεῖσθαι διακονίας προσέταττεν, πάντων δὲ
household and to-perform services he-commanded of-all and

τὰς ὑπάρξεις ἀντὶ ἑρμαίου προαρπάζων ἤδη καὶ θάνατον
the possessions as windfall seizing-beforehand already also death
ἠπείλει τοῖς τὸ σωτήριον ἐπιγραφομένοις ὄνομα. ὁ
he-threatened to-the(-ones) the saving inscribing-on-themselves name he
δὲ αὐτός γε τοι τὴν ψυχὴν ἐμπαθῆ καὶ ἀκόλαστον
but himself at-least surely the soul passionate and unbridled
κεκτημένος μυρίας τε δρῶν μοιχείας ἐπιρρήτους τ'
possessing countless and committing adulteries infamous and
αἰσχρουργίας, τὸν σωφροσύνης κόσμον τῆς τῶν ἀνθρώπων
obscenities the of-chastity adornment of-the of-the of-men
ἀπεγίνωσκε φύσεως, ἐλέγχῳ κακῷ χρώμενος αὐτὸς ἑαυτῷ.
he-despaired-of of-nature with-(a)-test bad using he-himself on-himself
53 Διὸ δὴ δεύτερον νόμον ἐτίθει, μὴ δεῖν προστάττων
wherefore indeed (a)-second law he-laid-down not (one)-must commanding
ἄνδρας ἅμα γυναιξὶν ἐπὶ τὰς τοῦ θεοῦ παρεῖναι
men together-with women at the — of-God to-be-present
εὐχάς, μηδ' ἐπὶ τὰ σεμνὰ τῆς ἀρετῆς διδασκαλεῖα
prayers nor to the august of-the virtue schools
φοιτᾶν τὸ γυναικῶν γένος, μηδ' ἐπισκόπους καθηγεῖσθαι
to-go the of-women race nor bishops to-instruct
γυναιξὶ θεοσεβῶν λόγων γυναῖκας δ' αἱρεῖσθαι γυναικῶν
for-women of-godly words women but to-choose of-women
διδασκάλους. γελωμένων δὲ τούτων παρὰ τοῖς πᾶσιν.
teachers being-laughed-at and these(-things) by the all
ἄλλο τι πρὸς καθαίρεσιν τῶν ἐκκλησιῶν ἐμηχανᾶτο,
other something for destruction of-the churches he-contrived
δεῖν φήσας πυλῶν ἐκτὸς ἐπὶ καθαρῷ πεδίῳ τὰς ἐξ
(one)-must having-said of-(the)-gates outside in open plain the from
ἔθους συγκροτήσεις τῶν λαῶν ποιεῖσθαι· τῶν γὰρ κατὰ
custom assemblies of-the peoples to-hold from-the for in

πόλιν προσευκτηρίων παρὰ πολὺ τὸν ἐκτὸς πυλῶν ἀέρα
(the)-city houses-of-prayer by much the outside (the)-gates air
τῷ κοινῷ διαλλάττειν.
in-the common(-good) to-differ
Ὡς δ' οὐκ εἶχεν οὐδ' ἐν τούτῳ τοὺς ὑπακούοντας, 54
when and not he-had not-even in this the(-ones) obeying
γυμνῇ λοιπὸν τῇ κεφαλῇ τοὺς κατὰ πόλιν στρατιώτας
bare thenceforth with-the head the in (the)-city soldiers
ἡγεμονικῶν ταγμάτων ἀποβάλλεσθαι, εἰ μὴ τοῖς δαίμοσιν
from-(the)-governors' ranks to-be-cast-out if not to-the demons
αἱροῖντο θύειν, παρεκελεύετο. ἐγυμνοῦντο δῆτα τῶν
they-should-choose to-sacrifice he-ordered were-stripped indeed of-the
κατὰ πᾶν ἔθνος ἀξιωμάτων αἱ τάξεις ἀνδρῶν θεοσεβῶν,
in every nation dignities the ranks of-men godly
ἐγυμνοῦτο δὲ καὶ αὐτὸς ὁ τούτων νομοθέτης εὐχῶν, ὁσίων
was-stripped and also himself the of-these lawgiver of-prayers of-holy
ἀνδρῶν ἑαυτὸν στερήσας. τί δὲ δεῖ τῶν ἐκτὸς
men himself having-deprived what but (one)-must of-the outside(-things)
μνημονεύειν, ὡς τοὺς ἐν εἱρκταῖς ταλαιπωρουμένους
to-mention how the(-ones) in prisons suffering
μηδένα μεταδόσει τροφῆς φιλανθρωπεύεσθαι ἐκέλευσε, μηδ'
no-one by-sharing of-food to-treat-humanely he-ordered nor
ἐλεεῖν τοὺς ἐν δεσμοῖς λιμῷ διαφθειρομένους, μηδ'
to-pity the(-ones) in bonds by-hunger perishing nor
ἁπλῶς ἀγαθὸν εἶναι μηδένα, μηδ' ἀγαθόν τι πράττειν
simply good to-be no-one nor good anything to-do
τοὺς καὶ πρὸς τῆς φύσεως ἐπὶ τὸ συμπαθὲς τῶν πέλας
the(-ones) even by the nature to the compassion of-the neighbors
ἑλκομένους; καὶ ἦν γε νόμων οὗτος ἄντικρυς ἀναιδὴς καὶ
drawn and was at-least of-laws this openly shameless and
παρανομώτατος, πᾶσαν ἀνήμερον ὑπερακοντίζων φύσιν, ἐφ'
most-lawless every savage overshooting nature for

ᾧ καὶ τιμωρία προσέκειτο τοὺς ἐλεοῦντας τὰ ἴσα
which also punishment was-attached the(-ones) pitying the equal(-things)
πάσχειν τοῖς ἐλεουμένοις, δεσμοῖς τε καὶ φυλακαῖς
to-suffer with-the pitied with-bonds both and prisons
καθείργνυσθαι τὴν ἴσην τοῖς καταπονουμένοις ὑπομένοντας
to-be-confined the equal with-the oppressed enduring
τιμωρίαν τοὺς τὰ φιλάνθρωπα διακονουμένους.
punishment the(-ones) the humane(-things) ministering
55 Τοιαῦται Λικινίου αἱ διατάξεις. τί δὲ χρὴ τὰς περὶ
such of-Licinius the ordinances what but (one)-must the about
γάμων αὐτοῦ καινοτομίας ἀπαριθμεῖσθαι ἢ τοὺς ἐπὶ
marriages his innovations to-enumerate or the concerning
τοῖς τὸν βίον μεταλλάττουσιν νεωτερισμούς· δι' ὧν
the(-ones) the life changing innovations through which
τοὺς παλαιοὺς Ῥωμαίων εὖ καὶ σοφῶς κειμένους νόμους
the ancient of-Romans well and wisely laid-down laws
περιγράψαι τολμήσας βαρβάρους τινὰς καὶ ἀνημέρους
to-circumscribe having-dared barbarous some and savage
ἀντεισῆγεν, σκήψεις ἐπινοῶν μυρίας κατὰ τῶν ὑπηκόων;
he-introduced-instead pretexts devising countless against the subjects
ἔνθεν ἀναμετρήσεις ἐπενόει γῆς, ὡς ἂν πλείονα τῷ
thence remeasurements he-devised of-land that — more by-the
μέτρῳ λογίζοιτο τὴν ἐλαχίστην, δι' ἀπληστίαν
measure he-might-reckon the least because-of greed
περιττῶν εἰσπράξεων. ἔνθεν τῶν κατ' ἀγροὺς μηκέτι
of-excessive exactions thence of-the in fields no-longer
ὄντων ἀνθρώπων πρόπαλαι δ' ἐν νεκροῖς κειμένων
being men long-ago but among (the)-dead lying
ἀναγραφὰς ἐποιεῖτο, αἰσχρὸν αὐτῷ κέρδος ἐκ τούτου
registrations he-made shameful for-himself gain from this
ποριζόμενος. οὐ γὰρ εἶχεν αὐτῷ μέτρον ἡ μικρολογία
procuring not for had for-him measure the meanness

οὐδ᾽ ἡ ἀπληστία κόρῳ περιωρίζετο. διὸ δὴ πάντας
nor the greed by-satiety was-bounded wherefore indeed all
πληρώσας θησαυροὺς χρυσοῦ καὶ ἀργύρου χρημάτων τ᾽
having-filled treasuries of-gold and silver of-money and
ἀπείρῳ πλήθει στένων ἀπωδύρετο πτωχείαν, Ταντα λείῳ
with-infinite multitude groaning he-lamented poverty with-Tantalean
πάθει τὴν ψυχὴν τρυχόμενος. οἵας δ᾽ ἐφεῦρε κατὰ τῶν
suffering the soul wasting what-sort and he-devised against the(-ones)
μηδὲν ἠδικηκότων ὑπερορίους τιμωρίας, οἵας ὑπαρχόντων
nothing having-wronged across-the-borders punishments what-sort of-property
δημεύσεις, οἵας εὐπατριδῶν καὶ ἀξιολόγων ἀνδρῶν
confiscations what-sort of-nobles and notable men
ἀπαγωγάς, ὧν τὰς κουριδίας γαμετὰς μιαροῖς οἰκέταις ἐφ᾽
abductions whose the wedded wives to-foul servants for
ὕβρει πράξεως αἰσχρᾶς παρεδίδου, ὅσαις δ᾽ αὐτός, καίπερ
outrage of-deed shameful he-handed-over how-many and he-himself although
ἤδη γήρᾳ τὸ σῶμα πεπαλαιωμένος, γυναιξὶν ὑπάνδροις
already by-old-age the body worn with-women married
παρθένοις τε κόραις ἐπεχείρει, οὐ δὴ ταῦτα χρεὼν
with-virgins and girls he-made-attempts not indeed these(-things) (it-is)-needful
μηκύνειν, τῆς τῶν ἐσχάτων αὐτοῦ πράξεων ὑπερβολῆς
to-lengthen of-the of-the last his deeds excess
σμικρὰ τὰ πρῶτα καὶ τὸ μηθὲν ἀποδειξάσης.
small the first(-things) and the nothing having-shown
Τὸ γοῦν τέλος αὐτῷ τῆς μανίας κατὰ τῶν ἐκκλησιῶν 56
the at-any-rate end for-him of-the madness against the churches
ὡπλίζετο, ἐπί τε τοὺς ἐπισκόπους ἐχώρει, οὓς ἂν
armed-itself to and the bishops he-advanced whom —
μάλιστα ἐναντιουμένους ἑώρα καὶ ἐχθροὺς ἡγεῖτο τοὺς
especially opposing he-saw and enemies he-thought the
τῷ θεοφιλεῖ καὶ μεγάλῳ βασιλεῖ φίλους. διὸ δὴ
to-the God-loving and great emperor friends wherefore indeed

μάλιστα καθ' ἡμῶν τὸν θυμὸν ὠξύνετο, τοῦ σώφρονος
especially against us the wrath he-sharpened from-the sober
παρατραπεὶς λογισμοῦ διαρρήδην τε μανεὶς τὰς
having-turned-aside reasoning expressly and having-gone-mad the
φρένας, οὔτε τὴν μνήμην τῶν πρὸ αὐτοῦ Χριστιανοὺς
mind neither the memory of-the(-ones) before him Christians
ἐκδιωξάντων ἐν νῷ κατεβάλλετο, οὔθ' ὧν αὐτὸς ὀλετὴρ
having-persecuted in mind he-laid-down nor of-whom he-himself destroyer
καὶ τιμωρὸς δι' ἃς μετῆλθον ἀσεβείας κατέστη, οὔθ'
and avenger because-of which they-pursued impieties he-had-become nor
ὧν αὐτόπτης γέγονεν, αὐτοῖς παραλαβὼν ὄμμασι
of-whom eyewitness he-had-become with-the-very having-taken eyes
τὸν πρωτοστάτην τῶν κακῶν, ὅστις πότε ἦν ἐκεῖνος,
the ringleader of-the evils whoever once was that(-one)
θεηλάτῳ μάστιγι πληγέντα.
by-God-sent scourge struck

57 Ἐπειδὴ γὰρ τῆς τῶν ἐκκλησιῶν κατήρχετο πολιορκίας
since for the of-the churches began siege
οὗτος πρῶτός τε τὴν ἑαυτοῦ ψυχὴν δικαίων καὶ θεοσεβῶν
this(-one) first and the his-own soul of-just and godly(-men)
ἐνέφυρεν αἵμασι, θεόπεμπτος αὐτὸν μετήρχετο τιμωρία ἐξ
defiled with-bloods God-sent him pursued punishment from
αὐτῆς αὐτοῦ καταρξαμένη σαρκὸς καὶ μέχρι τῆς ψυχῆς
very his having-begun flesh and as-far-as the soul
προελθοῦσα. ἀθρόα μὲν γὰρ αὐτῷ περὶ τὰ μέσα τῶν
advancing sudden indeed for for-him about the middle of-the
ἀπορρήτων τοῦ σώματος ἀπόστασις γίνεται, εἶθ' ἕλκος
secret(-parts) of-the body (an)-abscess arises then (an)-ulcer
ἐν βάθει συριγγῶδες, καὶ τούτων ἀνίατος νομὴ κατὰ
in depth fistulous and of-these incurable spreading to
τῶν ἐνδοτάτω σπλάγχνων, ἀφ' ὧν ἄλεκτόν τι πλῆθος
the innermost bowels from which unspeakable some multitude

σκωλήκων βρύειν θανατώδη τε ὀδμὴν ἀποπνεῖν, τοῦ
of-worms to-teem deadly and stench to-breathe-out the
παντὸς ὄγκου τῶν σαρκῶν ἐκ πολυτροφίας εἰς ὑπερβολὴν
whole bulk of-the flesh from gluttony to excess
πλήθους πιμελῆς μεταβεβληκότος, ἣν τότε κατασαπεῖσαν
of-amount of-fat having-changed which then having-rotted
ἀφόρητον καὶ φρικτοτάτην τοῖς πλησιάζουσι παρέχειν
unbearable and most-horrible to-the(-ones) approaching to-furnish
τὴν θέαν φασί. καὶ δὴ τοσούτοις παλαίων κακοῖς ὀψέ ποτε
the sight they-say and indeed with-so-great struggling evils late at-last
συναίσθησιν τῶν κατὰ τῆς ἐκκλησίας τετολμημένων
perception of-the(-things) against the church dared
αὐτῷ λαμβάνει, κἄπειτα τῷ θεῷ ἐξομολογησάμενος τὸν
by-him he-takes and-then — to-God having-confessed the
κατὰ τῶν Χριστιανῶν ἀποπαύει διωγμόν, νόμοις τε καὶ
against the Christians he-stops persecution with-laws both and
διατάγμασι βασιλικοῖς τὰς ἐκκλησίας αὐτῶν οἰκοδομεῖν
edicts imperial the churches their to-build
ἐπισπέρχει, τά τε συνήθη πράττειν αὐτοὺς εὐχὰς
urges the(-things) and customary to-do them prayers
ὑπὲρ αὐτοῦ ποιουμένους διακελεύεται.
for him making he-bids
Ἀλλ' ὁ μὲν τοῦ διωγμοῦ κατάρξας τοιαύτην ὑπεῖχε δίκην. 58
but he indeed of-the persecution having-begun such underwent penalty
τούτων δ' αὐτόπτης ὁ πρὸς τοῦ λόγου δηλούμενος
of-these and eyewitness the(-one) by the account shown
γεγονὼς ταῦτα τ' ἀκριβῶς διεγνωκὼς τῇ πείρᾳ,
having-become these(-things) and exactly having-learned by-the experience
λήθην ἀθρόως ἁπάντων ἐποιεῖτο, οὔτε τὴν κατὰ τοῦ
forgetfulness suddenly of-all made neither the against the
προτέρου ποινὴν ἀνενέγκας τῇ μνήμῃ οὔτε τὴν τοῦ
former punishment having-recalled to-the memory nor the of-the

δευτέρου τιμωρὸν δίκην. ὃς δὴ καὶ αὐτὸς ὑπερβαλέσθαι τὸν
second avenging penalty who indeed also himself to-surpass the
πρῶτον ὡς ἐν κακῶν πεφιλοτιμημένος ἀγῶνι, καινοτέρων
first as in of-evils having-striven-for-honor contest of-newer
τιμωριῶν εὑρέσει καθ' ἡμῶν ἐκαλλωπίζετο. οὐκ ἀπήρκει
of-punishments in-(the)-invention against us prided-himself not sufficed
γὰρ αὐτῷ πῦρ καὶ σίδηρος καὶ προσήλωσις οὐδέ γε θῆρες
for for-him fire and iron and nailing nor at-least beasts
ἄγριοι καὶ θαλάσσης βυθοί, ἤδη δὲ πρὸς ἅπασι τούτοις
wild and of-sea depths already and besides all these(-things)
ξένην τινὰ κόλασιν αὐτὸς ἐφευρών, τὰ τοῦ φωτὸς
strange some punishment he-himself having-invented the of-the light
αἰσθητήρια λυμαίνεσθαι δεῖν ἐνομοθέτει. ἀθρόα δῆτα
organs to-be-maimed (one)-must he-decreed whole indeed
πλήθη οὐκ ἀνδρῶν μόνον ἀλλὰ καὶ παίδων καὶ γυναικῶν,
multitudes not of-men only but also of-children and of-women
ὁράσεις δεξιῶν ὀφθαλμῶν ποδῶν τ' ἀγκύλας σιδήρῳ
in-sights of-right eyes of-feet and hamstrings by-iron
καὶ καυτῆρσιν ἀχρειούμενα, ταλαιπωρεῖσθαι μετάλλοις
and cauteries disabled to-suffer to-mines
παρεδίδοτο. ὧν εἵνεκα καὶ τοῦτον οὐκ εἰς μακρὰν ἡ
were-handed-over of-which on-account-of also this(-one) not into long(-time) the
τοῦ θεοῦ δικαιοκρισία μετῄει, ὅτε δαιμόνων ἐλπίσιν, ὧν δὴ
— of-God just-judgment pursued when of-demons with-hopes whom indeed
ᾤετο θεῶν, ὁπλιτῶν τε μυριάσιν ἀναρίθμοις ἐπιθαρσήσας
he-thought gods of-hoplites and with-myriads countless having-trusted
πολέμῳ παρετάττετο. τηνικαῦτα γὰρ γυμνωθεὶς τῆς ἐκ
in-war he-arrayed-himself then for stripped of-the from
θεοῦ ἐλπίδος ὑπεκδύεται τὸν οὐ πρέποντα αὐτῷ βασιλικὸν
God hope he-slips-off the not befitting him imperial
κόσμον, δειλῶς τε καὶ ἀνάνδρως ὑποδὺς τὸ πλῆθος
adornment cowardly both and unmanly having-slipped-into the crowd

δρασμῷ τὴν σωτηρίαν ἐπινοεῖ, κἄπειτα κρυπταζόμενος
by-flight the safety devises and-then hiding-himself
ἀνὰ τοὺς ἀγροὺς καὶ τὰς κώμας ἐν οἰκέτου σχήματι
throughout the fields and the villages in of-(a)-servant guise
διαλανθάνειν ᾤετο. ἀλλ᾽ οὐχὶ καὶ τὸν μέγαν καὶ τῆς
to-escape-notice he-thought but not also the great and of-the
καθόλου προνοίας διαδέδρακεν ὀφθαλμόν. ὡς γὰρ ἐν
universal providence he-has-escaped eye when for in
ἀσφαλεῖ λοιπὸν κεῖσθαι αὐτῷ τὴν ζωὴν ἤλπισε, βέλει θεοῦ
safety thenceforth to-lie for-him the life he-hoped by-(a)-dart of-God
πεπυρωμένῳ πληγεὶς πρηνὴς ἔκειτο, θεηλάτῳ πυρὶ τὸ πᾶν
fiery struck prostrate he-lay by-God-sent fire the whole
δαπανώμενος σῶμα, ὡς τὸ πᾶν εἶδος αὐτῷ τῆς παλαιᾶς
consumed body so-that the whole appearance for-him of-the old
μορφῆς ἀφανισθῆναι, ξηρῶν ὀστέων κατεσκελετευμένων
form to-vanish of-dry bones dried-up
δίκην εἰδώλων περιλειφθέντων αὐτῷ μόνων.
like of-images remaining to-him alone
Σφοδροτέρας δὲ τῆς τοῦ θεοῦ πληγῆς ἐνταθείσης 59
more-violent and of-the — of-God blow having-been-intensified
προπηδῶσιν αὐτῷ τὰ ὄμματα, τῆς τε οἰκείας λήξεως
leap-out for-him the eyes from-the and own place
ἐκπεσόντα πηρὸν αὐτὸν ἀφίησιν, ἃ κατὰ τῶν τοῦ θεοῦ
having-fallen blind him leaves which against the — of-God
μαρτύρων πρῶτος ἐφεῦρε κολαστήρια, ταῦθ᾽ ὑπομείναντα
martyrs first he-invented punishments these having-endured
δικαιοτάτῃ τοῦ θεοῦ ψήφῳ. καὶ δὴ ἔτ᾽ ἐμπνέων ἐπὶ
by-most-just — of-God vote and indeed still breathing upon
τοῖς τοσούτοις ὀψέ ποτε καὶ οὗτος τῷ Χριστιανῶν
the(-things) so-great late ever also this(-one) to-the of-Christians
ἀνθωμολογεῖτο θεῷ καὶ τὰς οἰκείας ἐξηγόρευε θεομαχίας,
confessed God and the own he-declared God-fighting

παλινῳδίας τε συνέταττεν ὁμοίως τῷ προτέρῳ καὶ
recantations and he-composed likewise to-the former also
αὐτός, νόμοις καὶ διατάγμασιν ἐγγράφως τὴν οἰκείαν
himself in-laws and edicts in-writing the own
περὶ οὓς ᾤετο θεοὺς πλάνην ὁμολογῶν, μόνον τε τὸν
regarding which he-thought gods error confessing alone and the
Χριστιανῶν αὐτῇ πείρᾳ θεὸν ἐγνωκέναι μαρτυρόμενος.
of-Christians by-the-very experience God to-have-known testifying
ταῦτ' ἔργοις μαθὼν ὁ Λικίνιος ἀλλ' οὐ παρ' ἑτέροις
these(-things) by-deeds having-learned — Licinius but not from others
ἀκοῇ πυθόμενος τοῖς αὐτοῖς ἐπεφύετο, ὥσπερ τινὶ
by-hearing having-ascertained to-the same(-things) clung as-if by-some
σκοτομήνῃ τὴν διάνοιαν ἐγκαλυπτόμενος.
moonless-night the mind veiled

VI · THE WAR WITH LICINIUS

Licinius renewed the persecution, pulling down and closing churches, until Constantine took up arms for the oppressed with priests at his side. Licinius sacrificed in a grove and boasted of his gods; Constantine trusted the saving sign, which fifty chosen guards carried, and wherever it went the enemy fled; a bearer who gave it up in fear was killed. Before every battle the emperor prayed in his tent. Licinius broke his truce, was defeated and put to death, and the empire was united under one ruler.

1 Ὧδε μὲν οὖν ὁ δηλωθεὶς ἐπὶ τὸν τῶν θεομάχων
thus indeed then the(-one) shown into the of-the God-fighters
βυθὸν κατεκρημνίζετο, καὶ ὧν ὀφθαλμοῖς ἐπεῖδεν τοὺς ἐπὶ
abyss was-hurled-down and whose with-eyes he-had-seen the for
τῆς δυσσεβείας ὀλέθρους, τούτων τὸν ζῆλον ἐπὶ κακῷ τῷ
the impiety destructions of-these the zeal to evil the

αὐτοῦ μετιών, τὸν κατὰ Χριστιανῶν διωγμὸν ὥσπερ τινὰ
his-own pursuing the against Christians persecution like some
πάλαι κατεσβεσμένην πυρὸς ἀκμὴν ἀνερρίπιζε, δεινοτέραν
long-ago quenched of-fire peak he-fanned-up more-terrible
ἢ οἱ πρόσθεν τὴν τῆς δυσσεβείας ἐξάπτων φλόγα.
than the(-ones) before the of-the impiety kindling flame
καὶ δὴ οἷά τις θὴρ δεινὸς ἢ σκολιὸς ὄφις περὶ ἑαυτὸν
and indeed as some beast terrible or crooked serpent around itself
ἰλυσπώμενος, θυμοῦ τε καὶ ἀπειλῆς θεομάχου πνέων,
coiling of-wrath both and threat God-fighting breathing
οὔπω μὲν ἐκ τοῦ προφανοῦς διὰ τὸν Κωνσταντίνου
not-yet indeed from the open because-of the of-Constantine
φόβον ταῖς ὑπ᾽ αὐτὸν ἐκκλησίαις τοῦ θεοῦ πολεμεῖν
fear the under him churches — of-God to-war-against
ἐτόλμα, κρύπτων δὲ τῆς κακίας τὸν ἰὸν λαθραίας καὶ
he-dared hiding but of-the wickedness the venom secret and
μερικὰς ἐποιεῖτο τὰς κατὰ τῶν ἐπισκόπων συσκευάς,
partial he-made the against the bishops machinations
ἀνῄρει τε δι᾽ ἐπιβουλῆς τῶν κατ᾽ ἔθνος ἀρχόντων
he-destroyed and through plot of-the by nation governors
τοὺς τούτων δοκιμωτάτους. καὶ ὁ τρόπος δὲ τοῦ κατ᾽
the of-these most-esteemed and the manner and of-the against
αὐτῶν φόνου ξενίζων τις ἦν, οἷος οὐδὲ πώποτε ἀκοῇ
them murder strange some was such-as not-even ever by-hearing
γνωσθῆναι. τὰ γοῦν ἀμφὶ τὴν Ἀμάσειαν τοῦ Πόντου
to-be-known the(-things) at-any-rate around — Amaseia — of-Pontus
κατεργασθέντα πᾶσαν ὑπερβολὴν ὠμότητος ὑπερηκόντιζεν.
done every excess of-cruelty surpassed
Ἔνθα τῶν ἐκκλησιῶν αἱ μὲν ἐξ ὕψους εἰς ἔδαφος τοῦτο 2
there of-the churches some indeed from height to ground this
δεύτερον μετὰ τὰς πρώτας καθῃροῦντο πολιορκίας,
(a)-second(-time) after the first were-pulled-down sieges

τὰς δ᾽ ἀπέκλειον οἱ κατὰ τόπους ἡγεμόνες, ὡς ἂν μὴ
others and shut the by places governors so-that — not
συνάγοιτό τις τῶν εἰωθότων μηδὲ τῷ θεῷ τὰς ἐνθέσμους
might-gather any of-the accustomed nor — to-God the lawful
ἀποδιδοίη λατρείας. συντελεῖσθαι γὰρ οὐχ ἡγεῖτο ὑπὲρ αὐτοῦ
might-render services to-be-performed for not he-thought for him
ταύτας ὁ τὰ τοιάδε προστάττων, συνειδότι φαύλῳ
these the(-one) the such(-things) commanding by-conscience bad
τοῦτο λογιζόμενος, ὑπὲρ δὲ Κωνσταντίνου πάντα πράττειν
this reckoning for but Constantine all(-things) to-do
ἡμᾶς καὶ τὸν θεὸν ἱλεοῦσθαι πέπειστο. οἱ δ᾽ αὐτοὶ
us and — God to-propitiate he-was-persuaded the and same
θῶπες ὄντες τινὲς καὶ κόλακες, τὰ φίλα πράττειν τῷ
flatterers being some and fawners the(-things) pleasing to-do to-the
δυσαγεῖ πεπεισμένοι, τοὺς δοκιμωτάτους τῶν ἐκκλησιῶν
accursed(-man) persuaded the most-esteemed of-the churches
προέδρους κεφαλικαῖς ὑπέβαλλον τιμωρίαις, ἀπήγοντό τε
presidents to-capital subjected punishments were-led-away both
καὶ ἐκολάζοντο ἀπροφασίστως τοῖς μιαιφόνοις ὁμοίως
and were-punished without-pretext to-the murderers alike
οἱ κατὰ μηδὲν ἠδικηκότες. ἤδη δέ τινες καινοτέραν
the(-ones) in nothing having-done-wrong already and some newer
ὑπέμενον τοῦ βίου τελευτήν, ξίφει τὸ σῶμα εἰς πολλὰ
underwent of-the life end by-sword the body into many
κατακρεουργούμενοι τμήματα καὶ μετὰ τὴν ἀπηνῆ ταύτην
cut-up pieces and after the cruel this
καὶ πάσης τραγικῆς ἀκοῆς φρικτοτέραν κόλασιν θαλαττίοις
and than-every tragic hearing more-horrible punishment into-sea
βυθοῖς ἰχθύσιν εἰς βορὰν ῥιπτούμενοι. φυγαὶ δὴ αὖθις ἐπὶ
depths for-fishes for food being-thrown flights indeed again upon
τούτοις ὥσπερ οὖν καὶ σμικρῷ πρότερον τῶν θεοσεβῶν
these(-things) as then also little earlier of-the godly

ἐγίνοντο ἀνδρῶν, καὶ πάλιν ἀγροὶ καὶ πάλιν ἐρημίαι τοὺς
took-place men and again fields and again deserts the
τοῦ θεοῦ θεραπευτὰς ὑπεδέχοντο. ἐπεὶ δὲ καὶ ταῦτα
— of-God servants received when and also these(-things)
τοῦτον προὐχώρει τῷ τυράννῳ τὸν τρόπον, λοιπὸν τὸν
this succeeded for-the tyrant the way at-last the
κατὰ πάντων ἀνακινεῖν διωγμὸν ἐπὶ διάνοιαν ἐβάλλετο,
against all to-stir-up persecution into mind he-put
ἐκράτει τε γνώμης καὶ οὐδὲν ἐμποδὼν ἦν αὐτῷ μὴ
he-was-master and of-(his)-purpose and nothing in-the-way was for-him not
οὐχὶ δι᾽ ἔργων ἤδη χωρεῖν, εἰ δὴ μὴ φθάσας
not through deeds already to-proceed if indeed not having-anticipated
τὸ μέλλον ὁ τῶν οἰκείων ὑπέρμαχος ὡς ἐν σκότῳ καὶ
the future the of-the own(-people) champion as in darkness and
νυκτὶ ζοφωδεστάτῃ φωστῆρα μέγαν ἐξέλαμψε, τὸν αὐτοῦ
night gloomiest (a)-luminary great made-shine-forth the his
θεράποντα Κωνσταντῖνον ἐπὶ τὰ τῇδε χειραγωγήσας.
servant Constantine to the(-things) here having-led-by-the-hand
Ὃς οὐκέτ᾽ ἀνεκτὴν εἶναι συνιδὼν τὴν τῶν εἰρημένων 3
who no-longer bearable to-be having-perceived the of-the said(-things)
ἀκοήν, τὸν σώφρονα συνάγει λογισμόν, καὶ τὸ στερρὸν
report the sober gathers reasoning and the firmness
τοῦ τρόπου τῇ συμφύτῳ φιλανθρωπίᾳ κερασάμενος ἐπὶ
of-the character with-the inborn humanity having-tempered to
τὴν ἄμυναν τῶν καταπονουμένων ἔσπευδεν, κρίνας εἶναι
the defense of-the oppressed hastened having-judged to-be
εὐσεβὲς καὶ ὅσιον ἐκποδὼν ἕνα ποιησάμενον τὸ πλεῖστον
pious and holy out-of-the-way one having-put the most
τῶν ἀνθρώπων διασώσασθαι γένος· πολλῇ γὰρ αὐτῷ
of-the men to-save race much for to-him
χρωμένῳ φιλανθρωπίᾳ καὶ τὸν οὐ συμπαθείας ἄξιον
using humanity and the(-one) not of-sympathy worthy

ἐλεοῦντι, τῷ μὲν μηθὲν γίγνεσθαι πλέον, τῆς τῶν
pitying for-the(-one) indeed nothing to-come more from-the of-the
κακῶν ἐπιτηδεύσεως μηδαμῶς ἀπαλλαττομένῳ ἐπαύξοντι
evils practice in-no-way desisting increasing
δὲ μᾶλλον τὴν κατὰ τῶν ὑποχειρίων λύτταν, τοῖς δὲ
but rather the against the subjects rage for-the but
ὑπ᾽ αὐτοῦ κεκακωμένοις μηδεμίαν ἔτι σωτηρίας ἐλπίδα
by him ill-treated no further of-safety hope
λείπεσθαι. ταῦτ᾽ ἐννοήσας βασιλεὺς ἀνυπερθέτως
to-be-left these(-things) having-considered emperor without-delay
δεξιὰν ὀρέγειν σωτήριον τοῖς εἰς ἔσχατα κακῶν
(a)-right-hand to-stretch-out saving to-the(-ones) to (the)-uttermost of-evils
ἐληλακόσιν ὡρμᾶτο. τῆς μὲν οὖν στρατιωτικῆς ἐξοπλίσεως
having-come he-hastened of-the indeed then military arming
τὴν συνήθη παρασκευὴν ἐποιεῖτο, ἤθροιστό τε αὐτῷ
the customary preparation he-made had-been-gathered and for-him
πᾶσα φάλαγξ πεζοῦ τε καὶ ἱππικοῦ τάγματος, ἡγεῖτο δ᾽
every phalanx of-foot both and cavalry rank led and
ἐπὶ πάντων τὰ τῆς ἐπὶ τὸν θεὸν ἀγαθῆς ἐλπίδος σύμβολα.
before all the of-the toward — God good hope symbols
4 Εὐχῶν δ᾽ εἰ καί ποτε νῦν αὐτῷ δεῖσθαι καλῶς ἐπιστάμενος
of-prayers but if even ever now for-him to-need well knowing
τοὺς τοῦ θεοῦ ἱεράρχας ἐπήγετο, συνεῖναι τ᾽ αὐτῷ καὶ
the — of-God hierarchs he-took-along to-be-with and him and
παρεῖναι ὥσπερ τινὰς ψυχῆς ἀγαθοὺς φύλακας τούτους
to-be-present as some of-(the)-soul good guardians these
δεῖν ἡγούμενος. ἔνθεν εἰκότως ὁ τὴν τυραννίδα
must thinking whence fittingly the(-one) the tyranny
προβεβλημένος, πυθόμενος Κωνσταντίνῳ τὰς κατ᾽ ἐχθρῶν
having-put-forward having-learned for-Constantine the against enemies
νίκας μηδ᾽ ἄλλως ἢ τοῦ θεοῦ συμπράττοντος πορίζεσθαι,
victories not otherwise than — God cooperating to-be-procured

συνεῖναί τ᾽ αὐτῷ καὶ παρεῖναι διὰ παντὸς τοὺς εἰρημένους,
to-be-with and him and to-be-present through all the said(-men)
καὶ τό γε τοῦ σωτηρίου πάθους σύμβολον αὐτοῦ τε καὶ
and the at-least of-the saving passion symbol him both and
τοῦ παντὸς καθηγήσασθαι στρατοῦ, ταῦτα μὲν γέλωτος
the whole to-lead army these(-things) indeed of-laughter
ἄξια ὑπελάμβανεν εἶναι, χλευάζων ἅμα καὶ βλασφήμοις
worthy supposed to-be scoffing at-once and blasphemous
αὐτὰ διασύρων λόγοις, αὐτός τε θεοπρόπους καὶ μάντεις
them tearing-apart with-words he-himself and seers and diviners
Αἰγυπτίων φαρμακεῖς καὶ γόητας θύτας τε καὶ προφήτας
of-Egyptians sorcerers and enchanters sacrificers both and prophets
ὧν ἡγεῖτο θεῶν περὶ ἑαυτὸν ἐποίει, κἄπειτα θυσίαις οὓς
of-those he-thought gods around himself he-made and-then with-sacrifices whom
δὴ ᾤετο θεοὺς μειλισσόμενος, διηρώτα ὅπη αὐτῷ τὰ
indeed he-thought gods propitiating he-asked how for-him the(-things)
τῆς ἐκβάσεως τοῦ πολέμου χωρήσειεν. οἱ δ᾽ ἀμελλήτως
of-the outcome of-the war might-go they and without-delay
ἐχθρῶν νικητὴν ἔσεσθαι καὶ πολέμου κρατήσειν συμφώνως
of-enemies victor to-be and of-war to-prevail harmoniously
αὐτῷ μαντείαις μακραῖς ἐπῶν τε καλλιεπείαις τῶν
for-him with-oracles long of-verses and fine-diction of-the
ἁπανταχοῦ χρηστηρίων προίσχοντο, οἰωνοπόλοι δὲ διὰ
everywhere oracles held-forth bird-augurs and through
τῆς τῶν ὀρνίθων πτήσεως σημαίνεσθαι αὐτῷ τὰ αἴσια
the of-the birds flight to-be-signified to-him the(-things) auspicious
προὔλεγον, καὶ θύται τὰ ὅμοια τὴν τῶν σπλάγχνων
foretold and sacrificers the like(-things) the of-the entrails
αἰνίττεσθαι κίνησιν ἐδήλουν. ἐπαρθεὶς δῆτα ταῖς τούτων
to-hint movement showed elated indeed by-the of-these

ἀπατηλαῖς ἐπαγγελίαις σὺν πολλῷ θράσει προῄει ταῖς
deceitful promises with much boldness he-advanced to-the
βασιλέως παρεμβολαῖς, ὡς οἷός τε ἦν, παρατάττεσθαι.
of-emperor encampments as able — he-was to-be-drawn-up(-for-battle)
Μέλλων δέ γε τοῦ πολέμου κατάρχειν, τῶν ἀμφ' αὐτὸν
being-about but at-least of-the war to-begin of-the around him
ὑπασπιστῶν τῶν τε τετιμημένων φίλων τοὺς ἐγκρίτους εἷς
shield-bearers of-the and honored friends the choice(-men) into
τινα τῶν αὐτοῖς νενομισμένων ἱερῶν συνεκάλει τόπων.
some of-the by-them customary sacred he-called-together places
ἄλσος δ' ἦν ἐπίρρυτον καὶ ἀμφιλαφές, παντοῖα δὲ ἐν
(a)-grove and was well-watered and thick-leaved of-all-kinds and in
τούτῳ γλυφαῖς λίθων ἀγάλματα ὧν ἡγεῖτο θεῶν ἵδρυτο.
this with-carvings of-stones statues of-whom he-thought gods were-set-up
οἷς κηροὺς ἐξάψας καὶ τὰ συνήθη θυσάμενος, τοιόνδε
for-whom candles having-lit and the customary having-sacrificed such
λόγον ἀποδοῦναι λέγεται· „Ἄνδρες φίλοι καὶ σύμμαχοι,
(a)-speech to-have-delivered is-said men friends and allies
πάτριοι μὲν οἵδε θεοί, οὓς ἐκ προγόνων τῶν ἀνέκαθεν
ancestral indeed these gods whom from forefathers the(-ones) of-old
παρειληφότες σέβειν τιμῶμεν, ὁ δὲ τῆς ἐναντίας
having-received to-revere we-honor the(-one) but of-the opposite
ἡμῖν ἐξάρχων παρατάξεως τὰ πάτρια παρασπονδήσας
to-us leading battle-line the ancestral(-things) having-violated
τὴν ἄθεον εἵλετο δόξαν, οὐκ οἶδ' ὁπόθεν ξένον τινὰ
the godless chose opinion not I-know from-where foreign some
πεπλανημένως περιέπων θεόν, αἰσχρῷ τε τούτου σημείῳ
erroneously tending god with-shameful and of-this sign
τὸν οἰκεῖον καταισχύνει στρατόν· ᾧ πεποιθὼς ὁρμᾶται
the own disgraces army in-which trusting he-rushes
οὐ πρὸς ἡμᾶς πολὺ πρότερον δὲ πρὸς αὐτοὺς οὓς
not against us much earlier but against the-very whom

παρέβη θεοὺς ἀράμενος τὰ ὅπλα. ὁ δὴ οὖν παρὼν
he-transgressed gods having-raised the arms the indeed then present
ἐλέγξει καιρὸς τὸν τῇ δόξῃ πεπλανημένον, θεοῖς
will-test moment the(-one) in-the opinion erring among-gods
τοῖς παρ' ἡμῖν καὶ τοῖς παρὰ θατέρῳ μέρει τιμωμένοις
the(-ones) with us and the(-ones) with the-other side honored
βραβεύων. ἢ γὰρ ἡμᾶς ἀποδείξας νικητὰς δικαιότατα
arbitrating either for us having-shown victors most-justly
τοὺς ἡμετέρους θεοὺς σωτῆρας ἀληθεῖς καὶ βοηθοὺς
the our gods saviors true and helpers
ἐπιδείξει, ἢ εἰ κρατήσειεν τῶν ἡμετέρων, πλείστων γε
will-show or if should-prevail over-the ours very-many at-least
ὄντων καὶ τέως τῷ πλήθει πλεονεκτούντων, εἷς τις οὗτος
being and hitherto in-the multitude having-the-advantage one some this
οὐκ οἶδ' ὁποῖος οὐδ' ὁπόθεν ὡρμημένος ὁ Κωνσταντίνου
not I-know of-what-sort nor from-where having-set-out the of-Constantine
θεός, μηδεὶς λοιπὸν ἐν ἀμφιβόλῳ τιθέσθω τίνα δέοι
god let-no-one thenceforth in doubt place what (one)-must
θεὸν σέβειν, προσχωρεῖν δέον τῷ κρατοῦντι
god to-revere to-go-over (it)-being-necessary to-the(-one) prevailing
καὶ τούτῳ τῆς νίκης ἀνατιθέναι τὰ βραβεῖα. καὶ εἰ μὲν
and to-this(-one) of-the victory to-ascribe the prizes and if indeed
ὁ ξένος καὶ νῦν γελώμενος ἡμῖν κρείττων φανείη,
the foreign(-one) and now laughed-at by-us stronger should-appear
μηδὲν ἐμποδὼν γινέσθω τοῦ καὶ ἡμᾶς αὐτὸν γνωρίζειν τε
nothing in-the-way let-there-be of-the also us him to-acknowledge both
καὶ τιμᾶν, μακρὰ χαίρειν τούτοις εἰπόντας οἷς μάτην
and to-honor long to-rejoice to-these having-said to-whom in-vain
τοὺς κηροὺς ἐξάπτομεν, εἰ δ' οἱ ἡμέτεροι κρατήσειαν, ὃ
the candles we-light if but the ours should-prevail which
δὴ οὐκ ἀμφιβάλλεται, μετὰ τὴν ἐνταυθοῖ νίκην ἐπὶ τὸν
indeed not is-doubted after the here victory to the

κατὰ τῶν ἀθέων πόλεμον ὁρμῶμεν". ὁ μὲν δὴ τοῖς
against the godless war let-us-rush he indeed truly to-the(-ones)
παροῦσι ταῦτα προσδιείλεκτο, ἡμῖν δὲ τοῖς ταύτην
present these(-things) had-spoken to-us but the(-ones) this
ποιουμένοις τὴν γραφὴν οἱ τῶν λόγων αὐτήκοοι τῆς
making the writing the of-the words ear-witnesses of-the
τούτων σμικρὸν ὕστερον μετεδίδοσαν γνώσεως. καὶ δὴ
of-these little later imparted knowledge and indeed
τοιούτους διεξελθὼν λόγους ἡγεῖσθαι τῆς συμβολῆς τὰ
such having-gone-through words to-lead the encounter the
στρατιωτικὰ παρήγγελλεν.
military(-forces) he-commanded

6 Τούτων δὲ πραττομένων φάσμα τι λόγου κρεῖττον ἀμφὶ
of-these and being-done apparition some than-word greater around
τὰς ὑπηκόους τῷ τυράννῳ πόλεις ὤφθαί φασιν·
the subject to-the tyrant cities to-have-been-seen they-say
ὁπλιτῶν γὰρ τῶν ὑπὸ Κωνσταντῖνον ἐδόκουν ὁρᾶν διάφορα
of-hoplites for of-the under Constantine they-seemed to-see various
τάγματα ἐν αὐταῖς μέσαις ἡμέραις διερχόμενα τὰς πόλεις
ranks in the-very middle days passing-through the cities
ὡσανεὶ κεκρατηκότα τῆς μάχης· καὶ ταῦτ' ἐβλέπετο
as-though having-won the battle and these(-things) were-seen
μηδενός πω τῇ ἀληθείᾳ μηδαμῇ φαινομένου, θειοτέρᾳ
no-one yet in-the truth anywhere appearing by-more-divine
δὲ καὶ κρείττονι δυνάμει τῆς φανείσης ὄψεως τὸ
but and stronger power of-the having-appeared vision the(-thing)
μέλλον ἔσεσθαι προφαινούσης. ἐπεὶ δὲ τὰ στρατιωτικὰ
about to-be foreshowing when and the military(-forces)
συμβολῆς ἥπτετο, προκατῆρχε τοῦ πολέμου ὁ τὰς
of-encounter touched began the war the(-one) the
φιλικὰς διαρρήξας συνθήκας. ἐνταῦθα δὴ Κωνσταντῖνος
friendly having-broken treaties then indeed Constantine

θεὸν σωτῆρα τὸν ἐπὶ πάντων ἐπικαλεσάμενος, σύνθημά τε
God savior the over all having-invoked (a)-watchword and
τοῦτο δοὺς τοῖς ἀμφ' αὐτὸν ὁπλίταις, πρώτης ἐκράτει
this having-given to-the around him hoplites (the)-first he-won
παρατάξεως, εἶτ' οὐκ εἰς μακρὸν δευτέρας συμβολῆς
battle-line then not into long(-time) (the)-second encounter
κρείττων ἦν καὶ κρειττόνων ἤδη νικητηρίων ἐτύγχανεν,
stronger he-was and of-greater already victory-prizes obtained
τοῦ σωτηρίου τροπαίου προπομπεύοντος τῆς ἀμφ' αὐτὸν
the saving trophy leading-the-procession of-the around him
φάλαγγος.
phalanx

Ἔνθα δὴ οὖν ἀνεφάνη τοῦτο, φυγὴ μὲν τῶν ἐναντίων 7
where indeed then appeared this flight indeed of-the opponents
ἐγίνετο δίωξις δὲ τῶν κρατούντων. ὃ δὴ συνιδὼν
took-place pursuit and of-the prevailing(-ones) which indeed having-perceived
βασιλεύς, τοῦ οἰκείου στρατοῦ εἴπου τι τάγμα κεκμηκὸς
emperor of-the own army if-anywhere some rank wearied
ἑώρα, οἷόν τι νικητικὸν ἀλεξιφάρμακον ἐνταυθοῖ τὸ
he-saw as some victorious antidote there the
σωτήριον τρόπαιον παρεῖναι διεκελεύετο, ᾧ παραυτίκα
saving trophy to-be-present ordered with-which at-once
συνανέφαινεν ἡ νίκη, ἀλκῆς καὶ ῥώμης σὺν θείᾳ τινὶ
appeared-together the victory of-valor and strength with divine some
μοίρᾳ δυναμούσης τοὺς ἀγωνιζομένους.
lot empowering the(-ones) contending

Διὸ δὴ τῶν ἀμφ' αὐτὸν ὑπασπιστῶν τοὺς καὶ 8
wherefore indeed of-the around him shield-bearers the(-ones) both
σώματος ἰσχύι καὶ ψυχῆς ἀρετῇ καὶ θεοσεβείας τρόποις
of-body in-strength and of-soul in-virtue and of-godliness in-ways
ἐγκρίτους μόνῃ τῇ τοῦ σημείου διακονίᾳ προσκαρτερεῖν
choice only the of-the sign service to-attend

ἐκέλευσεν· ἦσαν δ' ἄνδρες τὸν ἀριθμὸν οὐχ ἧττους
he-ordered were and men the in-number not fewer
πεντήκοντα, οἷς οὐδὲν ἕτερον ἦν μέλον ἢ κυκλοῦν
than-fifty for-whom nothing other was (a)-concern than to-surround
καὶ περιέπειν δορυφορίᾳ τὸ σημεῖον, ἀμοιβαίως ἑκάστου
and to-tend with-guard the sign in-turn each
φέροντος αὐτὸ ἐπὶ τῶν ὤμων. ταῦτα βασιλεὺς αὐτὸς
carrying it upon the shoulders these(-things) emperor himself
τοῖς τὴν γραφὴν ποιουμένοις ἡμῖν ἐπὶ καιροῦ σχολῆς
to-the(-ones) the writing making us at (a)-time of-leisure
μακρῷ τῶν πραγμάτων ὕστερον ὑφηγεῖτο, προστιθεὶς
by-far of-the events later related adding
θαῦμα μνημονευθῆναι ἄξιον τῷ διηγήματι.
(a)-wonder to-be-remembered worthy to-the narrative

9 Ἔφη γάρ ποτε ἐν μέσῃ τοῦ πολέμου συμβολῇ, κτύπου
he-said for once in (the)-middle of-the war encounter din
καὶ ταραχῆς ἀθρόας διαλαβούσης τὸ στρατιωτικόν, τὸν
and confusion sudden having-seized the army the(-man)
ἐπὶ τῶν ὤμων φέροντα τὸ σημεῖον ὑπὸ δειλίας ἐν ἀγωνίᾳ
on the shoulders carrying the sign from cowardice in agony
γενέσθαι κἄπειτα μεταπαραδοῦναι αὐτὸ ἑτέρῳ, ὡς ἂν
to-have-become and-then to-hand-over it to-another that —
διαφύγοι τὸν πόλεμον. ὡς δ' ὁ μὲν ὑπεδέδεκτο,
he-might-escape the war when and the(-one) indeed had-received(-it)
ὁ δ' ὑποβὰς ἐκτὸς ἐγένετο τῆς τοῦ σημείου
the(-other) but having-withdrawn outside became of-the of-the sign
φυλακῆς, βέλος ἀκοντισθὲν αὐτοῦ κατὰ τῆς νηδύος
guard (a)-dart hurled his into the belly
πήγνυται καὶ τὴν ζωὴν ἀφαιρεῖται αὐτοῦ. ἀλλ' οὗτος
is-fixed and the life takes-away his but this(-man)
μὲν δειλίας καὶ ἀπιστίας δίκην ἐκτίσας ἐνταυθοῖ νεκρὸς
indeed of-cowardice and unbelief penalty having-paid there dead

ἔκειτο, τοῦ δὲ τὸ σωτήριον τρόπαιον αἰωροῦντος
lay of-the(-one) but the saving trophy holding-aloft
ζωῆς ἐγίγνετο φυλακτήριον, ὡς πολλάκις βελῶν κατ᾽
of-life became (a)-safeguard so-that often darts against
αὐτοῦ πεμπομένων τὸν μὲν φέροντα διασῴζεσθαι, τὸ δὲ
him being-sent the indeed bearer to-be-kept-safe the but
τοῦ τροπαίου δόρυ δέχεσθαι τὰ βαλλόμενα. καὶ ἦν
of-the trophy shaft to-receive the(-things) thrown and was
γε τοῦτο παντὸς ἐπέκεινα θαύματος, ὡς ἐν βραχυτάτῃ
at-least this every beyond wonder that in narrowest
περιφερείᾳ τοῦ δόρατος ἱκνούμενα τὰ τῶν πολεμίων
circumference of-the shaft reaching the of-the enemies
βέλη ἐν αὐτῷ μὲν πηγνύμενα κατεπείρετο, ἠλευθέρου
darts in it indeed fixed were-stuck freed
δὲ θανάτου τὸν φέροντα, ὡς μηδὲν ἅπτεσθαι τῶν
and from-death the bearer so-that nothing to-touch of-the(-men)
ταύτην ποιουμένων τὴν διακονίαν πώποτε. οὐχ ἡμέτερος
this making the service ever not ours
δ᾽ ὁ λόγος ἀλλ᾽ αὐτοῦ πάλιν βασιλέως εἰς ἡμετέρας
and the account but himself again of-emperor to our
ἀκοὰς πρὸς ἑτέροις καὶ τοῦτον ἀπομνημονεύσαντος· ὃς
ears besides other(-things) also this having-related who
ἐπειδὴ θεοῦ δυνάμει τὰς πρώτας ἤρατο νίκας, ἐπὶ τὰ
when of-God by-power the first won victories to the
πρόσω λοιπὸν ἤλαυνε, τὸ στρατιωτικὸν ἐν τάξει κινήσας.
forward thenceforth drove the army in order having-moved
Τούτων δὲ τὴν πρώτην ὁρμὴν οἱ τῆς ἐναντίας 10
of-these and the first onset the(-men) of-the opposite
προκατάρχοντες λήξεως οὐχ ὑποστάντες, τοῖν χεροῖν
leading portion not having-withstood with-the hands
ῥίψαντες τὰ ὅπλα προσεχώρουν τοῖς βασιλέως ποσίν,
having-thrown the arms came-over to-the of-emperor feet

ὁ δὲ τοὺς πάντας σώους ὑπεδέχετο τῇ τῶν ἀνδρῶν
he and the(-men) all safe received in-the of-the men
ἀσμενίζων σωτηρίᾳ. ἄλλοι δ' ἐπὶ τοῖς ὅπλοις μείναντες
rejoicing safety others and at the arms having-remained
ἐνεχείρουν τῇ τοῦ πολέμου συμβολῇ· οὓς ἐπειδὴ
set-their-hand to-the of-the war encounter whom when
προκλήσεις φιλικὰς προισχόμενος βασιλεὺς οὐ πειθομένους
challenges friendly holding-forth emperor not obeying
ἔγνω, τὸν στρατὸν ἠφίει. οἱ δ' αὐτίκα νῶτα δόντες
he-knew the army he-let-loose they and at-once backs having-given
εἰς φυγὴν ἐτράποντο. εἶτα οἱ μὲν αὐτῶν νόμῳ πολέμου
into flight turned then some indeed of-them by-law of-war
ἐκτείνοντο καταλαμβανόμενοι, πλείους δ' ἐπ' ἀλλήλοις
were-killed being-caught more and upon one-another
πίπτοντες τοῖς οἰκείοις κατεβάλλοντο ξίφεσιν.
falling by-the own were-felled swords

11 Ἐκπλαγεὶς δ' ἐπὶ τούτοις ὁ τούτων ἐξάρχων, ἐπειδὴ τῆς
dismayed and at these(-things) the of-these leader since of-the
παρὰ τῶν οἰκείων βοηθείας γυμνωθέντα συνεῖδεν ἑαυτόν,
from the own help stripped he-perceived himself
φροῦδόν τε ἦν αὐτῷ τὸ πολὺ πλῆθος τῆς συνειλεγμένης
gone and was for-him the great multitude of-the gathered
αὐτῷ στρατείας τε καὶ συμμαχίας, ἥ τε ὤν ᾤετο
for-him army both and alliance the and of-those he-thought
θεῶν ἐλπὶς τὸ μηθὲν οὖσα πείρᾳ διηλέγχετο, τηνικαῦτα
gods hope the nothing being by-trial was-refuted then
δρασμὸν αἴσχιστον ὑπομένει· φεύγων δῆτα σὺν βραχέσιν
flight most-shameful he-undergoes fleeing indeed with few
ἐπὶ τὰ εἴσω τῆς ὑπηκόου διέβαινεν ἐν ἀσφαλεῖ τ'
to the inner(-parts) of-the subject(-land) he-crossed in safety and
ἐγίγνετο, τοῦ θεοφιλοῦς μὴ κατὰ πόδας διώκειν τοῖς
he-came the God-loving(-man) not on (his)-heels to-pursue to-the

οἰκείοις ἐγκελευομένου, ὡς ἂν τύχοι σωτηρίας ὁ
own(-men) commanding that — he-might-obtain safety the
φεύγων. ἤλπιζε γάρ ποτε αὐτόν, συναισθόμενον οἷ
fugitive he-hoped for at-some-time him having-perceived to-what
κακῶν ἴοι, λῆξαι μὲν τῆς μανιώδους θρασύτητος,
evils he-was-going to-cease indeed from-the mad rashness
ἐπὶ τὸν κρείττονα δὲ λογισμὸν μεταβαλεῖσθαι τὴν γνώμην.
to the better and reasoning to-change the mind
ἀλλ' ὁ μὲν φιλανθρωπίας ὑπερβολῇ ταῦτα διενοεῖτο
but he indeed of-humanity by-excess these(-things) intended
ἀνεξικακεῖν τ' ἤθελεν καὶ νέμειν τῷ μὴ ἀξίῳ συγγνώμην,
to-bear-patiently both wished and to-grant to-the not worthy pardon
ὁ δὲ οὐκ ἀπείχετο μοχθηρίας, κακὰ δ' ἐπὶ κακοῖς
the(-other) but not abstained from-wickedness evils and upon evils
σωρεύων χειρόνων ἥπτετο τολμημάτων, καὶ δὴ πάλιν
heaping-up of-worse laid-hold-of outrages and indeed again
γοήτων κακοτέχνοις ἐπιτηδεύμασιν ἐγχειρῶν ἐθρασύνετο·
of-sorcerers with-malicious practices setting-to-work grew-bold
ἦν δὲ καὶ ἐπ' αὐτῷ, ὡς ἄρα „ὁ θεὸς ἐσκλήρυνε
it-was(-possible) and also of him that after-all — God hardened
τὴν καρδίαν αὐτοῦ" παλαιῷ τυράννῳ παραπλησίως, φάναι.
the heart his to-(the)-old tyrant similarly to-say
Ἀλλ' ὁ μὲν τοιούτοις ἐμπλέκων ἑαυτὸν κατὰ βαράθρων 12
but he indeed in-such(-things) entangling himself down chasms
ἀπωλείας ὤθει, βασιλεὺς δὲ ἐπεὶ ἑώρα δευτέρας αὐτῷ
of-destruction pushed emperor but when he-saw (a)-second for-him
δεῖσθαι πολέμου παρατάξεως, τῷ αὐτοῦ σωτῆρι τὴν
to-be-needed of-war battle-line to-the his savior the
σχολὴν ἀνετίθει, τοῦ μὲν στρατοῦ τὴν σκηνὴν ἐκτὸς
leisure dedicated of-the indeed army the tent outside
καὶ πορρωτάτω πηξάμενος, ἁγνῇ δ' ἐνταυθοῖ χρώμενος
and farthest having-pitched pure and there using

καὶ καθαρᾷ διαίτῃ τῷ τε θεῷ τὰς εὐχὰς ἀποδιδούς,
and clean way-of-life — and to-God the prayers rendering
κατ᾽ αὐτὸν ἐκεῖνον τὸν παλαιὸν τοῦ θεοῦ προφήτην,
according-to the-very that the ancient — of-God prophet
ὃν τῆς παρεμβολῆς ἐκτὸς πήξασθαι τὴν σκηνὴν τὰ θεῖα
whom of-the encampment outside to-have-pitched the tent the divine
πιστοῦνται λόγια. προσεκαρτέρουν δ᾽ αὐτῷ βραχεῖς οἱ
confirm oracles attended and on-him few the(-ones)
πίστει καὶ θεοσεβείας εὐνοίᾳ παρ᾽ αὐτῷ δεδοκιμασμένοι.
by-faith and of-godliness by-goodwill with him approved
τοῦτο δ᾽ αὐτῷ σύνηθες ἦν πράττειν, καὶ εἴποτε ἄλλοτε
this and for-him customary was to-do also whenever at-other(-times)
παρατάξει πολέμων ὡρμᾶτο συμβαλεῖν. βραδὺς μὲν γὰρ
in-battle-line of-wars he-set-out to-engage slow indeed for
ἦν δι᾽ ἀσφάλειαν, θεοῦ δὲ βουλῇ πάντα πράττειν
he-was because-of safety of-God but by-(the)-counsel all to-do
ἠξίου. ἐπὶ σχολῆς δὲ τῷ αὐτοῦ θεῷ τὰς ἱκετηρίας
he-deemed-it-worthy at leisure and to-the his God the supplications
ποιούμενος πάντως που καὶ θεοφανείας ἐτύγχανεν,
making surely somehow also theophany he-obtained
εἶτα ὥσπερ θειοτέρᾳ κινηθεὶς ἐμπνεύσει, τῆς σκηνῆς
then as-if by-more-divine moved inspiration from-the tent
ἀναπηδήσας ἐξαίφνης κινεῖν αὐτίκα τὰ στρατιωτικὰ καὶ
leaping-up suddenly to-move at-once the army and
μὴ μέλλειν ἀλλὰ καὶ αὐτῆς ὥρας ξιφῶν ἅπτεσθαι
not to-delay but also in-the-very hour swords to-take-hold-of
παρεκελεύετο. οἱ δ᾽ ἀθρόως ἐπιθέμενοι ἠβηδὸν ἔκοπτον,
he-commanded they and together having-attacked to-a-man cut-down
ἔστ᾽ ἂν τὴν νίκην ἐν ὥρας ἀκαρεῖ ῥοπῇ ἀπολαβόντες
until — the victory in of-(an)-hour instant moment having-won
τρόπαια κατ᾽ ἐχθρῶν ἀνίστων ἐπινίκια.
trophies against enemies they-set-up triumphal

Οὕτω μὲν δὴ βασιλεὺς ἄγειν ἑαυτόν τε καὶ τὸν αὐτοῦ 13
thus indeed truly emperor to-conduct himself both and the his
στρατὸν ἐν ταῖς τῶν πολέμων παρατάξεσι καὶ πάλαι
army in the of-the wars battle-lines also long
πρότερον εἰώθει, τὸν ἑαυτοῦ θεὸν πρὸ τῆς ψυχῆς
earlier was-accustomed the his-own God before of-the soul
ἀεὶ τιθέμενος καὶ πάντα ταῖς αὐτοῦ βουλαῖς πράττειν
always placing and all(-things) by-the his counsels to-do
διανοούμενος ἐν εὐλαβείᾳ τε τιθέμενος τὸν τῶν πολλῶν
intending in reverence and placing the of-the many
θάνατον. ἔνθεν οὐ μᾶλλον τῆς τῶν οἰκείων ἢ τῶν
death whence not more of-the of-the own than of-the
ἐχθρῶν προυνόει σωτηρίας. διὸ καὶ κρατήσασιν ἐν
enemies he-took-thought-for safety wherefore also having-prevailed in
μάχῃ τοῖς οἰκείοις τῶν ἁλόντων φειδὼ ποιεῖσθαι παρῄνει
battle to-the own(-men) of-the captured sparing to-make he-exhorted
μηδ' ἀνθρώπους ὄντας τῆς ὁμογενοῦς φύσεως ἐν λήθῃ
nor men being of-the kindred nature in forgetfulness
γίγνεσθαι. εἰ δὲ καί ποτε τῶν ὁπλιτῶν τοὺς θυμοὺς ἀκρατεῖς
to-become if and also ever of-the hoplites the passions unrestrained
ἑώρα, χρυσοῦ δόσει αὐτοὺς ἐχαλίνου, τὸν ζωγροῦντά
he-saw of-gold by-giving them he-bridled the(-one) taking-alive
τινα τῶν πολεμίων ὡρισμένῃ χρυσοῦ τιμᾶσθαι προστάττων
any of-the enemies with-fixed of-gold to-be-honored commanding
ὁλκῇ. καὶ τοῦτο δέλεαρ ἀνθρώπων σωτηρίας ἡ βασιλέως
weight and this bait of-men's safety the of-emperor
εὕρατο σύνεσις, ὥστ' ἤδη μυρίοι καὶ αὐτῶν ἐσῴζοντο
found intelligence so-that already countless even of-them were-saved
βαρβάρων, χρυσῷ βασιλέως τὴν ζωὴν αὐτοῖς ἐξωνουμένου.
of-barbarians with-gold of-emperor the life for-them purchasing

14 Ταῦτα μὲν οὖν καὶ τούτοις ἀδελφὰ μυρία φίλα ἦν
these(-things) indeed then and to-these akin countless dear it-was
πράττειν βασιλεῖ καὶ ἄλλοτε. κἀπὶ τοῦ παρόντος δὲ
to-do to-emperor also at-other(-times) and-at the present and
συνήθως πρὸ τῆς μάχης ἐφ' ἑαυτῷ σκηνοποιούμενος
as-was-his-custom before the battle by himself pitching-a-tent
ταῖς πρὸς τὸν θεὸν εὐχαῖς τὴν σχολὴν ἀνετίθει, ῥᾳστώνης
to-the toward — God prayers the leisure he-dedicated of-ease
μὲν ἁπάσης καὶ τρυφηλῆς διαίτης ἀλλοτριούμενος ἀσιτίαις
indeed all and luxurious way-of-life estranging-himself with-fasts
δὲ καὶ κακώσει τοῦ σώματος πιέζων ἑαυτόν, ταύτῃ τε
and also with-mortification of-the body pressing himself in-this-way and
τὸν θεὸν ἱκετηρίοις λιταῖς ἱλεούμενος, ὡς ἂν δεξιὸν αὐτὸν
— God with-suppliant entreaties propitiating that — favorable him
καὶ βοηθὸν ἔχοι πράττοι τε ταῦτα ἅπερ αὐτῷ
and helper he-might-have might-do and these(-things) which to-him
θεὸς ἐμβάλλοι τῇ διανοίᾳ. ἀλλ' ὁ μὲν ἄυπνον ἐποιεῖτο
God might-put into-the mind but he indeed sleepless made
τὴν ὑπὲρ τῶν κοινῶν φροντίδα, οὐ μᾶλλον τῶν
the for the common(-affairs) care not more of-the
οἰκείων ἢ τῆς τῶν πολεμίων ὑπερευχόμενος σωτηρίας.
own than of-the of-the enemies praying-for safety
15 Ἐπεὶ δ' ὁ μικρῷ πρόσθεν φυγὰς εἰρωνείᾳ καθυπεκρίνετο
when and the little before fugitive with-dissimulation pretended
φιλικὰς αὖθις ἀντιβολῶν σπείσασθαι δεξιάς, καὶ ταύτας
friendly again entreating to-pledge right-hands and these
αὐτῷ παρέχειν ἠξίου, ἐπὶ συνθηκῶν ὅροις βιωφελῶς
to-him to-furnish he-asked on of-treaties terms usefully
καὶ τῷ παντὶ λυσιτελῶς προτεινομένας. ταῖς μὲν οὖν
and to-the whole profitably proposed to-the indeed then
συνθήκαις προθύμως ὑπακούειν ὁ δηλωθεὶς ὑπεκρίνετο
treaties eagerly to-obey the(-one) mentioned pretended

ὅρκοις βεβαιῶν τὴν πίστιν, λαθραίαν δὲ αὖθις ὁπλιτῶν
with-oaths confirming the faith secret but again of-hoplites
συνῆγεν παρασκευὴν καὶ πάλιν πολέμου καὶ μάχης
gathered preparation and again of-war and of-battle
κατῆρχεν βαρβάρους τ' ἄνδρας ἀνεκαλεῖτο συμμάχους,
began barbarian and men called-upon (as)-allies
θεούς τε ζητῶν περιήει ἑτέρους, ὡς ἂν ἐπὶ τοῖς
gods and seeking he-went-about other(-ones) as — by the
προτέροις ἠπατημένος. καὶ τῶν αὐτῷ πρὸ μικροῦ περὶ
former deceived and of-the(-things) by-him before little about
θεῶν ὁμιληθέντων οὐδεμίαν ἐν νῷ κατεβάλλετο μνήμην,
gods spoken no into mind laid-down memory
οὐδὲ τὸν ὑπέρμαχον Κωνσταντίνου γνωρίζειν θεὸν ἤθελε,
nor the champion of-Constantine to-recognize God he-wished
πλείους δ' αὐτῷ καὶ καινότεροι γελοίως ἀνεζητοῦντο.
more and for-him and newer ridiculously were-sought
Εἶτα ἔργῳ μαθὼν ὁπόση τις ἦν θεικὴ καὶ ἀπόρρητος ἐν 16
then by-deed having-learned how-great some was divine and secret in
τῷ σωτηρίῳ τροπαίῳ δύναμις, δι' ἧς ὁ Κωνσταντίνου
the saving trophy power through which the of-Constantine
κρατεῖν ἔμαθε στρατός, τοῖς ἀμφ' αὐτὸν ὁπλίταις παρήνει
to-prevail had-learned army to-the around him hoplites he-exhorted
μηδαμῶς ἐξ ἐναντίας ἰέναι τούτῳ μηδ' ὡς ἔτυχεν
in-no-way from opposite to-go-against this nor as it-happened
ἀπεριβλέπτως ὁρᾶν ἐπ' αὐτῷ· δεινὸν γὰρ εἶναι ἰσχύι
carelessly to-look upon it terrible for to-be in-strength
αὐτῷ τε ἐχθρὸν καὶ πολέμιον, διὸ χρῆναι φυλάττεσθαι
to-himself both hostile and inimical wherefore (one)-must to-guard-against
τὴν πρὸς αὐτὸ συμβολήν. καὶ δὴ ταῦτα συνταξάμενος,
the against it encounter and indeed these(-things) having-arranged
τῷ διὰ φιλανθρωπίαν ὀκνοῦντι καὶ τὸν κατ' αὐτοῦ
to-the(-one) because-of humanity hesitating and the against him

θάνατον ἀναβαλλομένῳ μάχῃ συμβαλεῖν ὡρμᾶτο. οἵδε
death putting-off in-battle to-engage he-rushed these(-men)
μὲν οὖν πολυπληθείᾳ θεῶν θαρροῦντες σὺν πολλῇ δυνάμει
indeed then in-(the)-multitude of-gods trusting with much power
χειρὸς στρατιωτικῆς ἐπῄεσαν, νεκρῶν εἴδωλα καμόντων
of-hand military came-on of-dead images having-perished
ἐν ἀψύχοις ἀγάλμασι προβεβλημένοι· ὁ δ' εὐσεβείας
in lifeless statues put-forward he but of-piety
θώρακι περιπεφραγμένος, τὸ σωτήριον καὶ ζωοποιὸν
with-breastplate fenced-about the saving and life-giving
σημεῖον ὥσπερ τι φόβητρον καὶ κακῶν ἀμυντήριον
sign as some terror and of-evils safeguard
τῷ πλήθει τῶν ἐναντίων παρέταττεν. καὶ τέως μὲν
to-the multitude of-the opponents arrayed and for-a-while indeed
ἐπεῖχε φειδοῖ χρώμενος τὰ πρῶτα, ὡς ἂν μὴ πρότερος
he-held-back sparing using at-the first that — not first
κατάρχοι τοῦ πολέμου ὧν πεποίητο συνθηκῶν εἵνεκα,
he-might-begin the war of-what he-had-made treaties for-the-sake-of
17 ὡς δ' ἐπιμόνως ἔχοντας τοὺς ὑπεναντίους ἤδη τε ξιφῶν
when and persistently being the adversaries already and swords
ἁπτομένους ἑώρα, τηνικαῦτα διαγανακτήσας βασιλεὺς μιᾷ
taking-hold-of he-saw then having-become-indignant emperor with-one
ῥοπῇ πᾶσαν τὴν τῶν ἐναντίων ἐτροποῦτο δύναμιν ὁμοῦ
moment all the of-the opponents routed power together
τε τὰς κατ' ἐχθρῶν καὶ κατὰ δαιμόνων ἀπεφέρετο νίκας.
and the against enemies and against demons he-carried-off victories
18 Εἶτα αὐτὸν τὸν θεομισῆ κἄπειτα τοὺς ἀμφ' αὐτὸν
then the-very the God-hated(-man) and-then the(-ones) around him
νόμῳ πολέμου διακρίνας τῇ πρεπούσῃ παρεδίδου τιμωρίᾳ,
by-law of-war having-judged to-the befitting he-handed-over punishment
ἀπήγοντό τ' αὐτῷ τυράννῳ καὶ ἀπώλλυντο τὴν
were-led-away and with-the-very tyrant and perished the

προσήκουσαν ὑπέχοντες δίκην οἱ τῆς θεομαχίας σύμβουλοι,
fitting undergoing penalty the of-the God-fighting counselors
οἵ τε σμικρὸν ἔμπροσθεν τῇ τῶν ματαίων ἐλπίδι
those and little before by-the of-the vain hope
μετεωρισθέντες ἔργῳ τὸν Κωνσταντίνου θεὸν ὅστις ἦν
buoyed-up by-deed the of-Constantine God who he-was
παρελάμβανον καὶ τοῦτον ἄρα θεὸν ἀληθῆ καὶ μόνον
learned and this(-one) after-all God true and alone
γνωρίζειν ὡμολόγουν.
to-acknowledge they-confessed

Καὶ δὴ τῶν δυσσεβῶν ἀνδρῶν ἐκποδὼν ἠρμένων 19
and indeed of-the impious men out-of-the-way having-been-removed
καθαραὶ λοιπὸν ἦσαν ἡλίου αὐγαὶ τυραννικῆς δυναστείας,
pure thenceforth were of-(the)-sun rays of-tyrannical domination
συνήπτετό τε πᾶσα ὅση τις ὑπὸ Ῥωμαίους ἐτύγχανε
was-joined and all as-much-as any under Romans happened(-to-be)
μοῖρα, τῶν κατὰ τὴν ἑῴαν ἐθνῶν ἑνουμένων θατέρῳ μέρει,
portion of-the in the east nations being-united to-the-other part
μιᾷ τε τῇ τοῦ παντὸς ἀρχῇ ὥσπερ τινὶ κεφαλῇ τὸ
with-one and the of-the whole rule as-if by-some head the
πᾶν κατεκοσμεῖτο σῶμα μοναρχικῆς ἐξουσίας διὰ πάντων
whole was-ordered body of-monarchic authority through all
ἡκούσης, λαμπραί τε φωτὸς εὐσεβείας μαρμαρυγαὶ τοῖς
having-come bright and of-light of-piety gleams to-the(-ones)
πρὶν καθημένοις ἐν σκότῳ καὶ σκιᾷ θανάτου φαιδρὰς
before sitting in darkness and shadow of-death bright
παρεῖχον ἡμέρας. οὐδ' ἦν τις ἔτι προτέρων μνήμη κακῶν,
furnished days nor was any any-more of-former memory evils
ἁπανταχοῦ πάντων τὸν νικητὴν ἀνυμνούντων μόνον τε τὸν
everywhere all the victor hymning alone and the
τούτου σωτῆρα θεὸν ὁμολογούντων γνωρίζειν. ὁ δ' ἀρετῇ
of-this(-man) savior God confessing to-acknowledge he but by-virtue

θεοσεβείας πάσῃ ἐμπρέπων νικητὴς βασιλεὺς (ταύτην γὰρ
of-godliness all conspicuous victor emperor this for
αὐτὸς αὐτῷ τὴν ἐπώνυμον κυριωτάτην ἐπηγορίαν εὕρατο
he-himself for-himself the named most-proper title found
τῆς ἐκ θεοῦ δεδομένης αὐτῷ κατὰ πάντων ἐχθρῶν τε καὶ
of-the from God given to-him over all enemies both and
πολεμίων νίκης εἵνεκα) τὴν ἑῴαν ἀπελάμβανε, καὶ μίαν
foes victory for-the-sake-of the east he-took-over and one
συνημμένην κατὰ τὸ παλαιὸν τὴν Ῥωμαίων ἀρχὴν ὑφ'
joined according-to the ancient(-way) the of-Romans rule under
ἑαυτὸν ἐποιεῖτο, μοναρχίας μὲν ἐξάρχων θεοῦ κηρύγματος
himself he-made of-monarchy indeed leading of-God (the)-proclamation
τοῖς πᾶσι μοναρχίᾳ δὲ καὶ αὐτὸς τοῦ Ῥωμαίων κράτους
to-the all by-monarchy and also himself of-the of-Romans power
τὸν σύμπαντα πηδαλιουχῶν βίον. ἀφῄρητό τε πᾶν δέος
the whole steering life was-removed and all fear
τῶν πρὶν πιεζούντων τοὺς πάντας κακῶν, λαμπρὰς δ'
of-the before oppressing the all evils bright and
ἐπετέλουν ἑορτὰς οἱ κατὰ πάσας ἐπαρχίας καὶ πόλεις
celebrated festivals the in all provinces and cities
δῆμοι, μειδιῶσί τε προσώποις ὄμμασί τε φαιδροῖς οἱ
peoples with-smiling both faces with-eyes and bright the(-ones)
πρὶν κατηφεῖς ἀλλήλοις ἐνέβλεπον, χοροὶ δ' αὐτοῖς καὶ
before downcast at-one-another looked choruses and for-them and
ὕμνοι τὸν παμβασιλέα θεὸν πρώτιστα πάντων ὄντα δὴ
hymns the king-of-all God first of-all being indeed
τοῦτον ἐδίδασκον, κἄπειτα τὸν καλλίνικον παῖδάς
this taught and-then the gloriously-victorious(-one) children
τ' αὐτοῦ κοσμιωτάτους καὶ θεοφιλεῖς καίσαρας φωναῖς
and his most-orderly and God-loving caesars with-voices
ἀσχέτοις ἐγέραιρον, κακῶν τ' ἀμνηστία παλαιῶν ἦν καὶ
unrestrained honored of-evils and forgetting of-old was and

δυσσεβείας πάσης λήθη, παρόντων δ' ἀγαθῶν ἀπόλαυσις
of-impiety all forgetfulness present and of-goods enjoyment
καὶ προσέτι μελλόντων προσδοκία.
and besides of-future expectation

VII · THE LETTER TO THE PROVINCIALS

In the east, as earlier in the west, the emperor's laws restored the persecuted. Eusebius quotes his letter to Palestine: the impious brought ruin on themselves while the godly prosper, and God chose the emperor's service, from the British sea eastward, to drive these evils out. So he recalls the exiles, frees those condemned to islands, mines, and public works, restores soldiers and nobles to their rank, gives the martyrs' property to their kin or else to the churches, and returns to the churches the houses, lands, and martyrs' shrines held by the treasury or by buyers.

Ἠπλοῦντο δὲ καὶ παρ' ἡμῖν, ὥσπερ οὖν καὶ πρότερον 20
were-spread-out and also among us as then also earlier
παρὰ τοῖς θάτερον μέρος τῆς οἰκουμένης λαχοῦσι,
among the(-ones) the-other part of-the inhabited-world having-obtained
βασιλέως φιλανθρωπίας ἔμπλεοι διατάξεις, νόμοι τε τῆς
of-emperor of-humanity full ordinances laws and of-the
πρὸς τὸν θεὸν ὁσίας πνέοντες παντοίας παρεῖχον ἀγαθῶν
toward — God holiness breathing all-kinds-of furnished of-goods
ἐπαγγελίας, τοῖς μὲν κατ' ἔθνος ἐπαρχιώταις τὰ πρόσφορα
promises to-the indeed by nation provincials the suitable(-things)
καὶ λυσιτελῆ δωρούμενοι, ταῖς δ' ἐκκλησίαις τοῦ θεοῦ
and profitable granting to-the and churches — of-God
τὰ κατάλληλα διαγορεύοντες. ἀνεκαλοῦντο γοῦν
the(-things) appropriate declaring they-recalled at-any-rate
ἐκείνους πρώτιστα πάντων ὅσοι τοῦ μὴ εἰδωλολατρῆσαι
those first of-all as-many-as of-the not to-worship-idols

χάριν ὑπὸ τῶν κατ᾽ ἔθνος ἡγουμένων ἐξορίας
for-the-sake-of by the by nation governors exiles
καὶ μετοικίας ὑπέμειναν, κἄπειτα τοὺς βουλευτηρίοις
and banishments had-endured and-then the(-ones) to-councils
ἐγκριθέντας τῆς αὐτῆς ἕνεκεν αἰτίας ἠλευθέρουν τῶν
enrolled of-the same for-the-sake-of cause they-freed from-the
λειτουργημάτων, καὶ τοῖς ἀφῃρημένοις δὲ τὰς οὐσίας
public-duties and to-the(-ones) deprived and the properties
ἀναλαμβάνειν ταύτας ἐγκελευόμενοι. οἵ τ᾽ ἐν καιρῷ
to-take-back these commanding the(-ones) and in (the)-time
τοῦ ἀγῶνος καρτερίᾳ ψυχῆς διὰ θεὸν λαμπρυνόμενοι,
of-the contest by-endurance of-soul because-of God made-glorious
μετάλλοις κακοπαθεῖν παραδοθέντες, ἢ νήσοις οἰκεῖν
to-mines to-suffer-hardship handed-over or on-islands to-live
κριθέντες, ἢ δημοσίοις ἔργοις δουλεύειν κατηναγκασμένοι,
condemned or in-public works to-serve compelled
τούτων ἀθρόως ἁπάντων ἐλευθερίας ἀπήλαυον. καὶ
of-these at-once all of-freedom enjoyed and
τοὺς στρατιωτικῆς δ᾽ ἀξίας δι᾽ ἔνστασιν θεοσεβείας
the(-ones) of-military and rank because-of steadfastness of-godliness
ἀποβλήτους γενομένους ἀνεκαλεῖτο τῆς ὕβρεως ἡ
cast-out having-become recalled from-the insult the
βασιλικὴ δωρεά, τοῖς ἐπ᾽ ἐξουσίας αἵρεσιν παρέχουσα
imperial gift to-the(-ones) in authority (a)-choice furnishing
ἢ τὰς οἰκείας ἀπολαμβάνειν καὶ διαπρέπειν τοῖς
either the own(-ranks) to-take-back and to-be-distinguished in-the
προτέροις αὐτῶν ἀξιώμασιν, ἢ ἀγαπῶντας τὸν εὐσταλῆ
former their dignities or loving the well-ordered
βίον πάντων λειτουργημάτων ἀνεπηρεάστους διατελεῖν.
life from-all public-duties unmolested to-continue

καὶ τοὺς γυναικείοις δ' ἔργοις ἐφ' ὕβρει καὶ ἀτιμίᾳ
and the(-ones) in-women's and works for outrage and dishonor
δουλεύειν κριθέντας ὁμοίως τοῖς λοιποῖς ἠλευθέρουν.
to-serve condemned likewise with-the others they-freed
Καὶ ταῦτα μὲν περὶ τῶν ταῦθ' ὑπομεινάντων ἡ 21
and these(-things) indeed about the(-ones) these(-things) having-endured the
βασιλέως ἐνομοθέτει γραφή. περὶ δὲ τῆς ὑπάρξεως τῶν
of-emperor legislated writing about and the property of-the
αὐτῶν ἐντελῶς διηγόρευεν ὁ νόμος. τῶν τε γὰρ ἁγίων
same(-men) fully declared the law of-the both for holy
τοῦ θεοῦ μαρτύρων τῶν ἐν ὁμολογίᾳ τὴν τελευτὴν
— *of-God martyrs of-the(-ones) in confession the end*
ἀποθεμένων τοῦ βίου τὰς οὐσίας ἐκέλευε τοὺς τῷ γένει
having-laid-down of-the life the properties it-commanded the(-ones) by-the kin
προσήκοντας ἀπολαμβάνειν, εἰ δὲ μὴ τούτων τις εἴη,
belonging to-take-back if but not of-these any should-be
τὰς ἐκκλησίας ὑποδέχεσθαι τοὺς κλήρους. καὶ τὰ ἐκ
the churches to-receive the inheritances and the(-things) from
ταμείου δὲ πρότερον ἑτέροις ἢ κατὰ πρᾶσιν ἢ κατὰ
(the)-treasury and formerly to-others either by sale or by
δωρεὰν ἐκποιηθέντα τά τ' ἐν αὐτῷ καταλειφθέντα
gift alienated the(-things) and in it left
εἰς τοὐπίσω προσήκειν τοῖς δεσπόταις ἀποδίδοσθαι τὸ τῆς
for hereafter belonging to-the owners to-be-restored the of-the
δωρεᾶς γράμμα διεκελεύετο. τοσαῦτα μὲν τῇ ἐκκλησίᾳ
gift writing commanded so-many indeed to-the church
τοῦ θεοῦ αἱ καταπεμφθεῖσαι δωρεαὶ παρεῖχον.
— *of-God the sent-down gifts furnished*
Δήμοις τε τοῖς ἐκτὸς καὶ πᾶσιν ἔθνεσιν τούτων 22
to-peoples and to-the outside and to-all nations than-these
ἕτερα ὑπερβάλλοντα τῷ πλήθει ἡ βασιλέως ἐδωρεῖτο
other surpassing in-the multitude the of-emperor granted

μεγαλοψυχία, ἐφ' οἷς ἅπαντες οἱ καθ' ἡμᾶς, ὅσα τὸ
magnanimity at which all the(-ones) among us as-much-as the
πρὶν ἀκοῇ πυνθανόμενοι ἐν θατέρῳ μέρει τῆς Ῥωμαίων
before by-hearing learning in the-other part of-the of-Romans
ἀρχῆς γιγνόμενα τοὺς εὖ πάσχοντας ἐμακάριζον, εὐχὴν
rule happening the(-ones) well faring called-blessed (a)-prayer
τιθέμενοι τῶν ἴσων ἀπολαῦσαι καὶ αὐτοί ποτε,
making of-the equal(-things) to-enjoy also themselves sometime
ταῦθ' ὑπ' ὄψεσιν ὁρῶντες, ἤδη καὶ σφᾶς εὐδαιμονίζειν
these(-things) under eyes seeing already also themselves to-call-happy
ἠξίουν, ξένον τι χρῆμα καὶ οἷον ὁ πᾶς αἰὼν
they-deemed-it-worthy strange some thing and such-as the whole age
ὑφ' ἡλίου αὐγαῖς οὐδεπώποτε ἱστόρησεν ἐπιλάμψαι
under of-(the)-sun rays never-ever recorded to-have-shone-upon
τῷ θνητῷ γένει τὸν τοσοῦτον ὁμολογοῦντες βασιλέα. ἀλλ'
the mortal race the so-great confessing emperor but
οἱ μὲν ὧδε ἐφρόνουν.
they indeed thus were-minded

23 Ἐπεὶ δὲ πάνθ' ὑποτέτακτο βασιλεῖ θεοῦ σωτῆρος δυνάμει,
since and all(-things) were-subjected to-emperor of-God of-(the)-savior by-power
τὸν τῶν ἀγαθῶν αὐτῷ πάροχον τοῖς πᾶσι φανερὸν ἐποίει,
the of-the goods to-him provider to-the all clear he-made
κἀκεῖνον τῶν νικητηρίων αἴτιον ἀλλὰ μὴ αὐτὸν νομίζειν
and-that-one of-the victories (the)-cause but not himself to-think
διεμαρτύρετο, τοῦτό τε αὐτὸ ἀνεκήρυττεν διὰ χαρακτήρων
he-testified this and very he-proclaimed through characters
Ῥωμαίας τε καὶ Ἑλληνίδος φωνῆς εἰς ἕκαστον ἔθνος
Roman both and Greek of-speech to each nation
ἐν γραφῇ διαπεμφθείσῃ. μάθοις δ' ἂν τοῦ λόγου τὴν
in writing sent-out you-might-learn and — of-the speech the
ἀρετὴν αὐτοῖς προσβαλὼν τοῖς δόγμασι· δύο δ' ἦν ταῦτα,
excellence very having-encountered the decrees two and were these

τὸ μὲν ταῖς ἐκκλησίαις τοῦ θεοῦ, τὸ δὲ τοῖς
the(-one) indeed to-the churches — of-God the(-other) and to-the
ἐκτὸς κατὰ πόλιν δήμοις διαπεμφθέν, ὃ τῇ παρούσῃ
outside by city peoples sent which to-the present
προσῆκον ὑποθέσει ἔμοιγε δοκεῖ παρενθεῖναι, ὡς ἂν
belonging subject to-me-at-least seems-good to-insert that —
διὰ τῆς ἱστορίας μένοι καὶ διαφυλάττοιτο τοῖς
through the history it-may-remain and be-preserved for-the(-ones)
μεθ' ἡμᾶς καὶ ἡ τοῦδε τοῦ δόγματος ἔκθεσις πρός
after us also the of-this the decree setting-forth for
τε ἀληθείας καὶ τῶν ἡμετέρων διηγημάτων πίστωσιν.
both of-truth and of-the our narratives confirmation
εἴληπται δ' ἐξ αὐθεντικοῦ τοῦ παρ' ἡμῖν φυλαττομένου
it-has-been-taken and from (the)-authentic the with us kept
βασιλικοῦ νόμου, ᾧ καὶ τῆς αὐτοῦ δεξιᾶς ἔγγραφος
imperial law to-which also of-the his right(-hand) written
ὑποσημείωσις τῆς τῶν λόγων πιστώσεως οἷά τινι
subscription of-the of-the words confirmation as with-some
σφραγῖδι κατασημαίνει τὴν μαρτυρίαν.
seal marks the testimony

Ἐπιστολὴ Κωσταντίνου Κωνσταντίου Ῥωμαίων 24
letter of-Constantine of-Constantius of-Romans
αὐτοκράτορος, τὸ πρῶτον καταπεμφθὲν τοῖς ἐπὶ
autocrat the first sent-down to-the(-ones) in
γῆς ἑῴας γράμμα μετὰ τὴν κατὰ τῶν τυράννων νίκην.
land eastern writing after the against the tyrants victory
„Νικητὴς Κωνσταντῖνος Μέγιστος Σεβαστὸς ἐπαρχιώταις
Victor Constantine Greatest Augustus to-provincials
Παλαιστίνης. Ἦν μὲν ἄνωθέν τε καὶ πάλαι παρὰ τοῖς
of-Palestine it-was indeed from-the-first both and of-old among the(-ones)
ὀρθῶς καὶ σωφρόνως περὶ τοῦ κρείττονος δοξάζουσιν
rightly and soberly about the stronger believing

ἔκδηλος ἡ διαφορὰ καὶ πᾶσαν ἀνείργουσα πόρρωθεν
evident the difference and all keeping-off from-afar
ἀμφιβολίαν, ὅσῳ τῷ μέσῳ διήλλαττεν ἡ περὶ
doubt by-as-much-as by-the middle differed the about
τῆς τοῦ χριστιανισμοῦ σεβασμιωτάτης θεραπείας ἀκριβὴς
the of-the Christianity most-venerable service exact
παρατήρησις παρὰ τοὺς πρὸς αὐτὴν ἐκπεπολεμωμένους
observance from the(-ones) toward it having-been-made-hostile
τε καὶ καταφρονητικῶς ἔχειν ἐθέλοντας. νυνὶ δὲ καὶ μᾶλλον
both and contemptuously to-be wishing now but also more
ἐπιφανεστέραις πράξεσι καὶ κατορθώμασι λαμπροτέροις
by-more-conspicuous deeds and achievements more-brilliant
τό τε τῆς ἀμφιβολίας ἄλογον ἀποδέδεικται καὶ ὁπόση
the both of-the doubt unreasonableness has-been-shown and how-great
τις ἡ τοῦ μεγάλου θεοῦ δύναμις, ἡνίκα τοῖς μὲν
some the of-the great God power when to-the(-ones) indeed
πιστῶς τὸν σεμνότατον σέβουσι νόμον καὶ μηδὲν τῶν
faithfully the most-august revering law and nothing of-the
παραγγελμάτων παραλύειν τολμῶσιν ἄφθονα τὰ ἀγαθὰ
commandments to-undo daring abundant the goods
καὶ πρὸς τὰς ἐγχειρήσεις ἰσχὺς ἀρίστη καὶ μετ᾽ ἐλπίδων
and for the undertakings strength best and with hopes
ἀγαθῶν ἀπαντῶσα, τοῖς δὲ τὴν ἀσεβῆ λαβοῦσι γνώμην
good meeting(-them) to-the(-ones) but the impious having-taken purpose
πρὸς τὰς προαιρέσεις ἀκόλουθα καὶ τὰ ἀποβαίνοντα ἦν.
to the choices consistent also the outcomes were
τίς γὰρ ἂν ἀγαθοῦ τύχοι τινός, τὸν τῶν ἀγαθῶν αἴτιον
who for — of-good could-obtain anything the of-the goods cause
θεὸν οὔτε γνωρίζων οὔτε τὰ προσήκοντα σέβειν
God neither knowing nor the(-things) fitting to-revere
ἐθέλων; πίστιν δὲ τῷ ῥηθέντι καὶ τὰ ἔργα δίδωσιν.“
wishing faith and to-the(-thing) said also the deeds give

„Εἰ γοῦν τις εἰς τοὺς ἄνωθεν εἰς δεῦρο παρατείναντας 25
if at-any-rate anyone to the from-the-first to here having-extended
χρόνους ἀναδράμοι τῷ νῷ καὶ τὰς πώποτε γενομένας
times should-run-back with-the mind and the ever having-happened
πράξεις κατίδοι τῷ λογισμῷ, πάντας ἂν εὕροι
deeds should-observe with-the reasoning all — he-would-find
τοὺς μὲν ὅσοι δικαίαν καὶ ἀγαθὴν προκατεβάλοντο
the(-ones) indeed as-many-as just and good laid-down
τῶν πραγμάτων κρηπῖδα εἰς ἀγαθὸν καὶ προαγαγόντας
of-the affairs foundation to good both having-brought
τὰς ἐγχειρήσεις πέρας, καὶ οἷον ἀπὸ ῥίζης τινὸς ἡδείας
the undertakings end and as-if from root some sweet
κομισαμένους καὶ τὸν καρπὸν γλυκύν, τοὺς δὲ ἀδίκοις
having-gathered also the fruit sweet the(-ones) but to-unjust
ἐπιχειρήσαντας τόλμαις καὶ ἢ πρὸς τὸ κρεῖττον ἀνοήτως
having-set-their-hand daring-deeds and either against the stronger senselessly
ἐκμανέντας ἢ πρὸς τὸ ἀνθρώπινον γένος λογισμὸν ὅσιον
having-raged or toward the human race reasoning holy
οὐδένα λαβόντας, ἀλλὰ φυγὰς ἀτιμίας δημεύσεις σφαγὰς
none having-taken but exiles dishonors confiscations slaughters
τοιαῦτα πολλὰ τολμήσαντας, καὶ οὔτε μεταμεληθέντας
such many(-things) having-dared and neither having-repented
ποτὲ οὔτε τὸν νοῦν ἐπιστρέψαντας πρὸς τὰ καλλίω,
ever nor the mind having-turned to the better(-things)
ἴσων καὶ τῶν ἀμοιβαίων τυχόντας. καὶ ταῦτά γε
equal also of-the requitals having-obtained and these(-things) at-least
οὐκ ἂν ἀπεικότως οὐδ' ἂν ἀπὸ λόγου συμβαίνοι."
not — unreasonably nor — from reason would-happen
„Ὅσοι μὲν γὰρ μετὰ δικαίας γνώμης ἐπί τινας ἔρχονται 26
as-many-as indeed for with just purpose upon some go
πράξεις καὶ τὸν τοῦ κρείττονος φόβον διηνεκῶς ἔχουσιν
deeds and the of-the stronger fear continually have

ἐν νῷ, βεβαίαν τὴν περὶ αὐτὸν φυλάττοντες πίστιν, καὶ
in mind firm the toward him guarding faith and
τοὺς παρόντας φόβους τε καὶ κινδύνους οὐκ ἄγουσιν
the present fears both and dangers not they-hold
τῶν μελλουσῶν ἐκείνων ἐλπίδων προτιμοτέρους, κἄν
than-the future those hopes more-valued even
εἰ πρὸς καιρὸν δυσχερῶν τινων πειραθεῖεν, τῷ
if for (a)-season of-hardships some they-should-make-trial by-the
μείζονας ἑαυτοῖς ἀποκεῖσθαι πιστεύειν τιμὰς ἤνεγκαν οὐδὲ
greater for-themselves to-be-laid-up to-believe honors they-bore nor
τὰ προσπεσόντα βαρέως, ἀλλὰ τοσούτῳ λαμπροτέρας
the(-things) befalling heavily but by-so-much more-brilliant
ἔτυχον εὐκλείας, ὅσῳ καὶ βαρυτέρων τῶν χαλεπῶν
they-obtained glory by-as-much-as also heavier the hardships
ἐπειράθησαν. ὅσοι δὲ ἢ τὸ δίκαιον ἀτίμως παρεῖδον
they-made-trial as-many-as but either the just dishonorably overlooked
ἢ τὸ κρεῖττον οὐκ ἔγνωσαν καὶ τοὺς τοῦτο πιστῶς
or the stronger not knew and the(-ones) this faithfully
μετιόντας ὕβρεσι καὶ κολάσεσιν ἀνηκέστοις ὑποβαλεῖν
pursuing with-outrages and punishments incurable to-subject
ἐτόλμησαν καὶ οὐχ ἑαυτοὺς μὲν ἀθλίους ἐφ᾽ οἷς διὰ
dared and not themselves indeed wretched at what because-of
τὰς τοιαύτας ἐκόλαζον προφάσεις ἔκριναν, εὐδαίμονας δὲ
the such they-punished pretexts judged happy but
καὶ μακαριστοὺς τοὺς καὶ μέχρι τῶν τοιούτων τὴν πρὸς
and blessed the(-ones) even as-far-as the such(-things) the toward
τὸ κρεῖττον διασωζομένους εὐσέβειαν, τούτων πολλαὶ μὲν
the stronger preserving piety of-these many indeed
ἔπεσον στρατιαί, πολλαὶ δὲ πρὸς φυγὴν ἐτράπησαν, πᾶσα
fell armies many and to flight were-turned every
δὲ τούτων πολέμων παράταξις εἰς αἰσχίστην ἔληξεν ἥτταν.“
and of-these of-wars battle-line in most-shameful ended defeat

„Ἐκ τῶν τοιούτων ἀναφύονται πόλεμοι βαρεῖς, ἐκ τῶν 27
from the such(-things) spring-up wars heavy from the
τοιούτων πορθήσεις πανώλεθροι, ἐντεῦθεν ἐλαττώσεις μὲν
such(-things) ravagings utterly-destructive thence shortages indeed
τῶν πρὸς τὰς χρείας ἀναγκαίων πλῆθος δὲ τῶν
of-the(-things) for the needs necessary multitude and of-the
ἐπηρτημένων δεινῶν, ἐντεῦθεν οἱ τῆς τοσαύτης ἀρχηγοὶ
impending terrors thence the of-the so-great leaders
δυσσεβείας ἢ ἀνατλάντες τὰ ἔσχατα θάνατον πανώλεθρον
impiety either having-endured the extremes death utterly-destructive
ἐδυστύχησαν, ἢ ζωὴν αἰσχίστην διάγοντες θανάτου ταύτην
suffered or life most-shameful leading than-death this
βαρυτέραν ἐπέγνωσαν, καὶ οἷον ἰσομέτρους ταῖς ἀδικίαις
heavier recognized and as-it-were equal-in-measure to-the injustices
τὰς τιμωρίας ἐκομίσαντο. τοσοῦτον γὰρ ἕκαστος εὕραντο
the punishments received so-much for each found
συμφορῶν, ὅσον τις καὶ καταπολεμῆσαι τὸν θεῖον
of-misfortunes as-much-as anyone also to-war-down the divine
νόμον ὑπ᾽ ἀλογίας προήχθη, ὥστ᾽ αὐτοῖς μὴ παρὰ τὴν
law by folly was-led so-that for-them not during the
ζωὴν εἶναι βαρέα μόνον, ἀλλὰ καὶ τῶν ὑπὸ γῆς
life to-be heavy(-things) only but also of-the under earth
κολαστηρίων χαλεπώτερον προσδοκᾶσθαι τὸν φόβον.“
punishments more-grievous to-be-expected the fear
„Τοιαύτης δὴ καὶ οὕτως βαρείας δυσσεβείας τὰ ἀνθρώπεια 28
such indeed and so heavy impiety the human(-affairs)
κατεχούσης, καὶ τῶν κοινῶν οἷον ὑπὸ νόσου λοιμώδους
holding and of-the common(-affairs) as-if by disease pestilential
τινὸς ἄρδην διαφθαρῆναι κινδυνευόντων καὶ θεραπείας
some utterly to-be-destroyed being-in-danger and of-treatment
σωτηρίου πολλῆς χρῃζόντων, τίνα τὸ θεῖον ἐπινοεῖ
saving much needing what the divine devises

κουφισμόν, τίνα τῶν δεινῶν ἀπαλλαγήν; ἐκεῖνο δὲ πάντως
relief what of-the terrors deliverance that and by-all-means
νοητέον θεῖον, ὃ μόνον τε καὶ ὡς ὄντως ἔστι καὶ
must-be-thought divine which alone both and as truly is and
διαρκῆ κατὰ παντὸς ἔχει τοῦ χρόνου τὴν δύναμιν. πάντως
lasting through all has the time the power by-all-means
δὲ οὐ κόμπος τὸ τὴν παρὰ τοῦ κρείττονος εὐποιίαν
and not boasting the the from the stronger benefaction
ὁμολογοῦντα σεμνολογεῖσθαι. τὴν ἐμὴν ὑπηρεσίαν πρὸς τὴν
confessing to-speak-loftily the my service for the
ἑαυτοῦ βούλησιν ἐπιτηδείαν ἐζήτησέν τε καὶ ἔκρινεν, ἀπὸ
his-own will suitable sought both and judged from
τῆς πρὸς Βρεττανοῖς ἐκείνοις θαλάσσης ἀρξάμενος καὶ
the at Britons those sea having-begun and
τῶν μερῶν, ἔνθα δύεσθαι τὸν ἥλιον ἀνάγκῃ τινὶ τέτακται,
from-the parts where to-set the sun by-necessity some is-ordained
κρείττονί τινι δυνάμει ἀπωθούμενος καὶ διασκεδαννὺς
by-stronger some power driving-away and scattering
τὰ κατέχοντα πάντα δεινά, ἵν' ἅμα μὲν ἀνακαλοῖτο
the besetting all terrors that at-once indeed might-be-recalled
τὸ ἀνθρώπινον γένος τὴν περὶ τὸν σεμνότατον νόμον
the human race to-the about the most-august law
θεραπείαν τῇ παρ' ἐμοῦ παιδευόμενον ὑπουργίᾳ, ἅμα δ'
service by-the from me trained ministry at-once and
ἡ μακαριστὴ πίστις αὔξοιτο ὑπὸ χειραγωγῷ τῷ κρείττονι."
the most-blessed faith might-grow under (a)-guide the stronger
29 „Οὐδέποτε γὰρ ἂν ἀγνώμων περὶ τὴν ὀφειλομένην γενοίμην
never for — ungrateful about the owed I-might-be
χάριν· ταύτην ἀρίστην διακονίαν, τοῦτο κεχαρισμένον ἐμαυτῷ
gratitude this best service this granted to-myself
δῶρον πιστεύσας, μέχρι καὶ τῶν ἑῴων πρόειμι χωρίων,
gift having-believed as-far-as even the eastern I-go-forth regions

ἃ βαρυτέραις κατεχόμενα συμφοραῖς μείζονα καὶ τὴν παρ᾽
which by-heavier held misfortunes greater also the from
ἡμῶν θεραπείαν ἐπεβοᾶτο. πάντως δὲ καὶ ψυχὴν ὅλην καὶ
us treatment called-for by-all-means and also soul whole and
πᾶν ὅ τί περ ἀναπνέω, καὶ ὅλως εἴ τι τῆς διανοίας
all what ever indeed I-breathe and in-short if anything of-the mind
ἐνδοτάτω στρέφεται, τοῦτο τῷ μεγίστῳ θεῷ ὀφείλεσθαι
innermost turns this to-the greatest God to-be-owed
παρ᾽ ἡμῶν ὅλον ἀσφαλῶς πεπίστευκα. οἶδα μὲν οὖν
by us whole securely I-have-believed I-know indeed then
ἀκριβῶς, ὡς οὐδὲν τῆς παρ᾽ ἀνθρώπων εὐνοίας χρῄζοιεν ἂν
exactly that nothing of-the from men goodwill would-need —
οἱ τὴν οὐράνιον ὀρθῶς μεταδιώξαντες ἐλπίδα καὶ ταύτην
the(-ones) the heavenly rightly having-pursued hope and this
ἐξαίρετόν τε καὶ ἀσφαλῶς ἐπὶ τῶν θείων καθιδρυσάμενοι
special both and securely in the divine having-established
τόπων τοσούτῳ τε τιμῶν ἀπολαύοντες μειζόνων, ὅσῳ
places by-so-much and honors enjoying greater by-as-much-as
περ σφᾶς αὐτοὺς τῶν γηίνων ἐλαττωμάτων τε καὶ
indeed them selves from-the earthly defects both and
δεινῶν ἐχώρισαν. τὰς ἀνάγκας δὲ ὅμως τὰς πρὸς καιρὸν
terrors they-separated the necessities but nevertheless the for (a)-season
ἐπενεχθείσας αὐτοῖς καὶ τὰς οὐ προσηκούσας βασάνους ἀπὸ
brought-upon them and the not fitting tortures from
τῶν οὐδὲν αἰτίων οὐδὲ ὑπευθύνων ὡς πορρωτάτω ἀνείργειν
the in-no-way guilty nor accountable as farthest to-keep-away
ἡμᾶς οἶμαι προσήκειν· ἢ γένοιτ᾽ ἂν τὸ ἀτοπώτατον,
us I-think befits or would-be — the most-absurd(-thing)
ὑπὸ μὲν τοῖς διῶξαι τοὺς ἄνδρας προθυμηθεῖσιν τῆς
under indeed the(-ones) to-persecute the men having-been-eager of-the
περὶ τὸ θεῖον ἕνεκα θεραπείας τὸ καρτερικὸν καὶ
about the divine for-the-sake-of service the enduring and

στερρὸν τῆς ψυχῆς αὐτῶν ἱκανῶς διαγνωσθῆναι, ὑπὸ δὲ
firm of-the soul their sufficiently to-be-recognized under but
τῷ θεράποντι τοῦ θεοῦ μὴ οὐκ εἰς λαμπρότερον καὶ
the servant — of-God not not to more-brilliant and
μακαριστότερον σχῆμα τὴν δόξαν αὐτῶν ἀρθῆναι.“
more-blessed form the glory their to-be-raised
30 „Ἅπαντες τοίνυν, εἴτέ τινες μετοικίαν ἀντὶ τῆς ἐνεγκούσης
all therefore whether some exile instead-of the native(-land)
ἠλλάξαντο, ὅτι μὴ τὴν πρὸς τὸ θεῖον παρεῖδον πίστιν,
exchanged because not the toward the divine they-overlooked faith
ᾗπερ ὅλαις ψυχαῖς σφᾶς αὐτοὺς καθιέρωσαν, γνώσεσιν
to-which with-whole souls them selves they-dedicated by-sentences
δικαστῶν ἀπηνέσιν ὑποβληθέντες, καθ’ οὓς ἔτυχον
of-judges cruel having-been-subjected at what they-happened
ἕκαστοι χρόνους, εἴτέ τινες βουλευτικοῖς συγκατηριθμήθησαν
each times or some to-council were-enrolled
καταλόγοις, τὸν τούτων πρότερον ἀριθμὸν οὐ πληροῦντες,
lists the of-these formerly number not filling
χωρίοις τε πατρῴοις ἀποκαταστάντες καὶ σχολῇ τῇ
to-places and ancestral having-been-restored and in-leisure the
συνήθει τῷ πάντων ἐλευθερωτῇ θεῷ χαριστήρια φερόντων·
customary to-the of-all liberator God thank-offerings let-them-bring
εἴτέ τινες τῶν ὄντων ἐστέροντο καὶ πάσης τῆς ὑπαρχούσης
or some of-the possessions were-deprived and of-all the existing
οὐσίας ἀποβολῇ καταπεπληγότες κατηφέστατον εἰς δεῦρο
property by-loss stricken most-dejected to here
διῆγον βίον, οἰκήσεσιν τε ταῖς ἀρχαίαις καὶ γένεσιν
led (a)-life to-dwellings and the ancient and to-families
καὶ περιουσίαις ἀποδοθέντες τῆς παρὰ τοῦ κρείττονος
and to-properties having-been-restored of-the from the stronger
εὐποιίας χαίροντες ἀπολαύοιεν.“
benefaction rejoicing let-them-enjoy

„Οὐ μὴν ἀλλὰ καὶ ὅσους οὐ βουλομένους νῆσοι κατέχουσιν 31
not however but also as-many-as not willing islands hold
τῆς προμηθείας ταύτης ἀπολαῦσαι προστάττομεν, ὅπως
of-the providence this to-enjoy we-command that
οἱ μέχρι νῦν ὀρῶν τε δυσχωρίαις καὶ περιρρύτῳ
the(-ones) until now of-mountains both by-roughnesses and by-surrounding
περικεκλεισμένοι θαλάσσῃ τῆς σκυθρωπῆς τε καὶ
enclosed sea from-the gloomy both and
ἀπανθρώπου ἐρημίας ἐλευθερωθέντες τοῖς φιλτάτοις σφᾶς
inhuman desolation freed to-the dearest them
αὐτοὺς ἀποδοῖεν, τὸν εὐκταῖον πόθον πληρώσαντες·
selves may-restore the prayed-for longing having-fulfilled
οἳ πενιχρὰν ἐπὶ πολὺν χρόνον ζωὴν μετά τινος
who (a)-poor for long time life with some
ἀποτροπαίου ῥύπου διῆγον, οἷον ἅρπαγμά τι τὴν
abominable squalor led as-it-were (a)-windfall some the
ἐπάνοδον ποιησάμενοι, καὶ τῶν φροντίδων εἰς τὸ λοιπὸν
return having-made and of-the cares for the rest
ἀπηλλαγμένοι, μὴ μετὰ φόβου σὺν ἡμῖν βιῷεν. μετὰ
freed not with fear with us may-live with
φόβου γὰρ ὑφ᾽ ἡμῖν βιοῦν, οἳ θεοῦ θεράποντες εἶναι
fear for under us to-live who of-God servants to-be
αὐχοῦμέν τε καὶ πιστεύομεν, καὶ εἰς ἀκοὴν ἐλθεῖν μόνον
we-boast both and believe even into hearing to-come only
τῶν ἀτοπωτάτων ἂν εἴη, μήτι γε δὴ καὶ πιστεῦσαι·
of-the most-absurd(-things) — would-be let-alone at-least indeed also to-believe
οἳ καὶ τὰς ἀλλοτρίας ἁμαρτίας διορθοῦν πεφύκαμεν.“
who also the other(-people's) sins to-correct we-are-wont
„Ὅσοι γε μὴν ἢ μοχθηραῖς μεταλλείαις ἐμπονεῖν 32
as-many-as at-least indeed either in-wretched mines to-toil
κατεγνώσθησαν ἢ τὰς πρὸς τοῖς δημοσίοις ἔργοις
were-condemned or the at the public works

ὑπηρεσίας πληροῦν, τῶν διαρκῶν μόχθων τὴν γλυκεῖαν
services to-fulfill of-the continual toils the sweet
σχολὴν ἀμειψάμενοι κουφότερον καὶ τὸν μετ᾽ ἐξουσίας
leisure having-exchanged more-lightly and the with license
ἤδη βιούντων βίον, τὰς ἀμέτρους τῶν πόνων ἀηδίας
already let-them-live life the measureless of-the labors unpleasantnesses
εἰς πραεῖαν ἄνεσιν καταλύσαντες. εἰ δὲ καὶ τῆς κοινῆς
into gentle relaxation having-dissolved if but even of-the common
παρρησίας ἀποπεσόντες ὑπάρχοιέν τινες καὶ δυστυχήσαντες
freedom-of-speech having-fallen may-be some and having-suffered
ἀτιμίαν, μετ᾽ εὐφροσύνης τῆς προσηκούσης, οἷον ἀποδημίᾳ
dishonor with gladness the fitting as-if by-absence
τινὶ χρονίῳ ἐχωρίσθησαν, τὴν προτέραν ἀξίαν ἀναλαβόντες
some long they-were-separated the former dignity having-taken-up
ἐπὶ τὰς αὐτῶν ἐπειγέσθωσαν πατρίδας.“
to the their-own let-them-hasten homelands

33 „Οὐ μὴν ἀλλὰ καὶ τοῖς ἐξετασθεῖσι μὲν ἐν
not however but also to-the(-ones) enrolled indeed in
στρατιωτικαῖς ἀξίαις ποτέ, τούτων δὲ δι᾽ ἀπηνῆ τε καὶ
military ranks once of-these and through cruel both and
ἄδικον πρόφασιν ἐκπεσοῦσιν, ὅτι τὸ γινώσκειν τὸ κρεῖττον
unjust pretext having-fallen-from because the to-know the stronger
ὁμολογοῦντες προτιμότερον ἧς εἶχον ἀξίας ἦγον,
confessing more-valued than-which they-had rank they-held
ἔστω πρὸς βούλησιν ἢ τὰ στρατιωτικὰ στέργουσιν
let-it-be according-to will either the military(-life) for-(those)-loving
ἐφ᾽ οὗπερ ἦσαν σχήματος μένειν, ἢ μετὰ ἀφέσεως ἐντίμου
in which they-were rank to-remain or with discharge honorable
ἐλευθέραν ἄγειν σχολήν· πρέπον γὰρ ἂν εἴη καὶ
free to-lead leisure fitting for — it-would-be and
ἀκόλουθον τὸν τοσαύτην μεγαλοψυχίαν καὶ καρτερίαν
consistent the(-one) so-great magnanimity and endurance

πρὸς τοὺς ἐπενεχθέντας κινδύνους ἐπιδειξάμενον καὶ σχολῆς,
toward the brought-upon dangers having-shown both leisure
εἰ βούλοιτο, καὶ τιμῆς πρὸς τὴν αἵρεσιν ἀπολαύειν.“
if he-wishes and honor according-to the choice to-enjoy
„Καὶ μὴν καὶ ὅσοι τῆς εὐγενείας πρὸς βίαν στερόμενοι 34
and indeed also as-many-as of-the nobility by force deprived
τοιουτότροπόν τινα γνῶσιν δικαστῶν ὑπέστησαν, ὥστε
such-a some sentence of-judges underwent so-that
ἢ γυναικείοις ἢ λινοϋφίοις ἐμβληθέντες ἀήθη καὶ
either to-women's(-workshops) or linen-works having-been-thrown unaccustomed and
ἄθλιον ὑπομένειν πόνον ἢ οἰκέται νομίζεσθαι τοῦ ταμείου,
wretched to-endure toil or servants to-be-reckoned of-the treasury
οὐδὲν αὐτοῖς τῆς προτέρας ἐπαρκεσάσης γενέσεως, οὗτοι
nothing for-them the former having-availed birth these
τιμῶν τε ὧν ἀπέλαυον πρόσθεν καὶ τοῖς τῆς ἐλευθερίας
of-honors both which they-enjoyed before and in-the of-the freedom
καλοῖς ἐνευφραινόμενοι, ἀνακαλεσάμενοι τὰς συνήθεις
goods rejoicing having-recovered the customary
ἀξίας, μετὰ πάσης λοιπὸν εὐφροσύνης βιούντων. καὶ
dignities with all thenceforth gladness let-them-live and
ὁ δουλείαν γε μὴν ἐλευθερίας ἀλλαξάμενος ἀθεμίτῳ
the(-one) slavery at-least indeed for-freedom having-exchanged by-lawless
τινὶ καὶ ἀπανθρώπῳ δήπου ἀπονοίᾳ, πολλάκις τε τὰς
some and inhuman surely madness often and the
ἀήθεις διακονίας ἀποδυράμενος, καὶ οἷον αἰφνίδιον
unaccustomed services having-lamented and as-if suddenly
οἰκέτην ἑαυτὸν ἀντ' ἐλευθέρου γνούς, ἐλευθερίας
(a)-servant himself instead-of free having-recognized of-freedom
τῆς πρόσθεν καθ' ἡμέτερον λαβόμενος πρόσταγμα,
the former according-to our having-taken-hold command
ἀποδιδότω τε τοῖς γεννήτορσιν ἑαυτὸν καὶ πόνους τοὺς
let-him-restore both to-the parents himself and labors the

ἐλευθέρῳ πρέποντας μετίτω, ἃς προεμόχθησεν οὐκ
to-(a)-free(-man) befitting let-him-pursue which he-toiled-at-before not
οἰκείας διακονίας ἐκβαλὼν τῆς μνήμης.“
own services having-cast-out from-the memory
35 „Παρεατέον δὲ οὐδὲ τὸ τῶν οὐσιῶν, ὧν ἕκαστοι
must-be-passed-over but not-even the of-the properties of-which each
κατὰ διαφόρους ἐστερήθησαν προφάσεις. ἀλλ᾽ εἴτέ
for various were-deprived pretexts but whether
τινες τὸν ἄριστόν τε καὶ θεῖον ὑποστάντες ἀγῶνα
some the best both and divine having-undergone contest
τοῦ μαρτυρίου ἀφόβῳ τε καὶ θαρραλέᾳ γνώμῃ τῶν
of-the martyrdom with-fearless both and courageous purpose of-the
ὄντων ἐστερήθησαν, εἴτέ τινες ὁμολογηταὶ καταστάντες
possessions were-deprived or some confessors having-become
τὴν αἰώνιον ἐλπίδα παρεσκεύασαν ἑαυτοῖς, ὅσοι τε
the eternal hope prepared for-themselves as-many-as and
μετοικῆσαι καταναγκασθέντες, ὅτι μὴ τοῖς διώξασιν εἶξαν
to-emigrate compelled because not to-the persecutors they-yielded
παριδόντες τὴν πίστιν, τῶν ὄντων ἐστέροντο καὶ αὐτοί,
having-overlooked the faith of-the possessions were-deprived also themselves
ἢ εἴ γέ τινες οὐδὲ καταγνωσθέντες θάνατον στέρησιν
or if at-least some not-even being-condemned to-death deprivation
ἐδυστύχησαν τῶν ὄντων, τούτων τοῖς πρὸς γένους
suffered of-the possessions of-these to-the(-ones) by kin
προσνέμεσθαι τοὺς κλήρους προστάττομεν. πάντως δὲ
to-be-assigned the inheritances we-command entirely and
διαγορευόντων τῶν νόμων τῶν ἀγχιστέων τοὺς ἐγγυτέρω,
declaring the laws of-the next-of-kin the nearer(-ones)
ῥᾴδιον διαγινώσκειν οἷς προσήκουσιν οἱ κλῆροι, καὶ ὅτι
easy to-discern to-whom belong the inheritances and that

οὗτοι κατὰ λόγον ἐπὶ τὴν διαδοχὴν ἔλθοιεν ἄν, οἵπερ ἦσαν
these by right to the succession would-come — who were
οἰκειότεροι καὶ αὐτομάτῳ χρησαμένων ἐκείνων τῷ τέλει.
more-closely-related and natural having-used those the end
Εἰ δὲ τῶν ἀγχιστέων μηδεὶς ὑπολείποιτο μηδενὸς τῶν 36
if but of-the next-of-kin no-one should-be-left of-any of-the
προειρημένων κατὰ λόγον ἂν γενόμενος κληρονόμος, μήτε
aforesaid by right — having-become heir neither
τῶν μαρτύρων φημί, μήτε τῶν ὁμολογησάντων, μήτε
of-the martyrs I-say nor of-the(-ones) having-confessed nor
τῶν μετοίκων τῶν ἐπὶ τῇ τοιαύτῃ μεταστάντων
of-the emigrants of-the(-ones) for the such having-departed
προφάσει, ἡ καθ' ἑκάστους ἀεὶ τοὺς τόπους ἐκκλησία
pretext the in each always the places church
διαδέχεσθαι τετάχθω τὸν κλῆρον· οὐκ ἔσται δὲ
to-succeed let-be-appointed the inheritance not will-be and
τοῦτο πάντως οὐδὲ τοῖς ἀπελθοῦσι βαρύ, εἴπερ
this by-all-means not-even to-the(-ones) having-departed heavy if-indeed
ἧς ἕνεκα πάντας ὑπέστησαν πόνους κληρονόμον
for-which for-the-sake-of all they-underwent toils (as)-heir
εὐτυχοῖεν ταύτην. προσκεῖσθαί γε μὴν ἀναγκαῖον
they-should-be-fortunate-in this to-be-added at-least indeed (it-is)-necessary
καὶ τόδε, ὡς εἰ τῶν προειρημένων τινὲς ἐδωρήσαντό
also this that if of-the aforesaid any gave
τι τῶν ὄντων οἷς ἐβούλοντο, τούτοις τὴν δεσποτείαν
anything of-the possessions to-whom they-wished to-these the ownership
εὔλογον κυρίαν μένειν."
reasonable valid to-remain
„Ὅπως δὲ μηδὲ πλάνη τις ἐμφαίνοιτο τῷ προστάγματι 37
that and not-even error any may-appear in-the command
ἀλλ' ἕτοιμον εἴη τὸ δίκαιον ἅπασι γινώσκειν, εἰδέτωσαν
but ready may-be the just for-all to-know let-them-know

ἅπαντες, εἴτε χωρίον εἴτε οἰκίαν εἴτε κῆπον εἴτε
all whether (a)-field or (a)-house or (a)-garden or
ἕτερόν τι τῶν προειρημένων κατέχοιεν, καλὸν καὶ
other anything of-the aforesaid they-hold good and
λυσιτελοῦν αὐτοῖς εἶναι καὶ ὁμολογεῖν καὶ ἀποκαθιστάναι
profitable for-them to-be both to-confess and to-restore
σὺν ἁπάσῃ ταχυτῆτι. εἰ γὰρ καὶ τὰ μάλιστα φανεῖεν
with all speed if for even the most they-should-appear
ἐξ αὐτῶν τινες ἀπὸ τῆς οὐ δικαίας δεσποτείας πολλὰ
from them some from the not just ownership many(-things)
καρπωσάμενοι, καὶ γίνεσθαι τούτων τὴν ἀπαίτησιν ἡμεῖς
having-reaped and to-be of-these the demand-back we
οὐ δίκαιον κρίνομεν, ὅμως γε μὴν αὐτοὶ ὁπόσα τε
not just judge nevertheless at-least indeed themselves how-much both
καὶ ὁπόθεν συνέλεξαν ἐπιγνόντες, τῷ ἁμαρτήματι τούτῳ
and from-where they-collected having-recognized for-the fault this
συγχώρησιν γενέσθαι παρ᾽ ἡμῶν δεηθήτωσαν, ὅπως ἅμα
pardon to-be-granted by us let-them-ask that at-once
μὲν τῇ τοιαύτῃ διορθώσει ἡ φθάσασα ἰαθείη πλεονεξία,
indeed by-the such correction the earlier may-be-healed greed
ἅμα δὲ ὁ μέγιστος θεός, οἷον ἀντὶ μεταμελείας τινὸς
at-once and the greatest God as instead-of repentance some
τοῦτο προσέμενος, εὐμενὴς ἐπὶ τοῖς ἁμαρτηθεῖσι γένοιτο.
this having-accepted gracious at the(-things) sinned may-become
38 Ἐροῦσι μὲν γὰρ ἴσως ἀντ᾽ ἀπολογίας προισχόμενοι
will-say indeed for perhaps instead-of defense holding-forth
οἱ τῶν τοιούτων οὐσιῶν καταστάντες δεσπόται, εἴ γε
the(-ones) of-the such properties having-become masters if at-least
τοῦτο κρατεῖν ἐπ᾽ αὐτῶν ἄξιον ἢ δυνατὸν τὸ πρόσρημα, ὡς
this to-prevail over them worthy or possible the name that
οὐκ ἦν οἷόν τε ἀποθέσθαι τὸ τηνικαῦτα, ἡνίκα πολύτροπος
not was possible — to-put-aside the then when manifold

ἁπάντων τῶν δεινῶν ἦν θέα, ὠμῶς ἀπελαυνόμενοι,
of-all the terrors was (the)-spectacle cruelly driven-out
ἀφειδῶς ἀπολλύμενοι, ἀμελῶς ἐρριμμένοι, δημεύσεις τῶν
unsparingly destroyed carelessly thrown confiscations of-the
οὐδὲν αἰτίων συχναί, διώξεις ἀκόρεστοι, τῶν ὄντων
in-no-way guilty frequent persecutions insatiable of-the possessions
διαπράσεις· εἰ δὲ τοῖς τοιούτοις δυσχυρίζοιντο λόγοις
sales if but by-the such should-insist arguments
τινὲς καὶ ταῖς ἀπλήστοις ἐπιμένοιεν προαιρέσεσιν, οὐκ
some and in-the insatiable should-persist choices not
ἀτιμώρητον ἑαυτοῖς τὸ τοιοῦτον αἰσθήσονται, καὶ μάλιστα
unpunished for-themselves the such they-will-perceive and especially
ὁπότε οὕτω τὰ παρ᾽ ἡμῶν τῷ μεγίστῳ διακονεῖται
when thus the(-things) from us to-the greatest are-ministered
θεῷ. ὅσα γοῦν πρότερον ἡ ὀλέθριος ἀνάγκη
God as-many(-things)-as at-any-rate formerly the destructive necessity
συνηνάγκαζε λαμβάνειν, ταῦτα νῦν κατέχειν ἐπισφαλὲς
compelled to-take these now to-hold dangerous
ὑπάρχει· ἄλλως τε καὶ παντὶ τρόπῳ τὰς ἀπληστίας
is otherwise both and in-every way the greeds
λογισμοῖς καὶ παραδείγμασιν ἐλαττοῦν ἀναγκαῖον.“
by-reasonings and examples to-diminish (is)-necessary
„Οὐδὲ τὸ ταμεῖον, εἴ τι κατέχοι τῶν προειρημένων, 39
nor the treasury if anything it-should-hold of-the aforesaid
βεβαίως κατέχειν συγχωρηθήσεται, ἀλλ᾽ οἷον οὐδὲ
securely to-hold will-be-allowed but as not-even
ἀντιφθέγξασθαι πρὸς τὰς ἱερὰς ἐκκλησίας τολμῆσαν, ὧν
to-speak-against toward the holy churches having-dared what
ἐπὶ χρόνον οὐ δικαίως κατέσχεν, τούτων ἐκστήσεται
for time not justly it-held from-these will-withdraw
δικαίως ταῖς ἐκκλησίαις *** ἅπαντα δ᾽ ὅσα
justly to-the churches (lacuna) all and as-many(-things)-as

ταῖς ἐκκλησίαις προσήκειν ὀρθῶς ἂν φανείη, εἴτε οἰκίαι
to-the churches to-belong rightly — might-appear whether houses
τὸ κτῆμα τυγχάνοιεν εἴτε ἀγροί τινες καὶ κῆποι εἴτε
the property should-happen or fields some and gardens or
ὁποῖα δή ποτε ἕτερά τινα, οὐδενὸς τῶν εἰς τὴν
what-sort indeed ever other some(-things) nothing of-the in the
δεσποτείαν ἐλαττουμένου δικαίου ἀλλ' ἀκεραίων πάντων
ownership being-diminished right but intact all
μενόντων, ἀποκαθίστασθαι προστάττομεν."
remaining to-be-restored we-command

40 „Καὶ μὴν καὶ τοὺς τόπους αὐτούς, οἳ τοῖς σώμασι τῶν
and indeed also the places themselves which by-the bodies of-the
μαρτύρων τετίμηνται καὶ τῆς ἀναχωρήσεως τῆς ἐνδόξου
martyrs have-been-honored and of-the departure the glorious
ὑπομνήματα καθεστᾶσιν, τίς ἂν ἀμφιβάλοι μὴ οὐχὶ ταῖς
memorials stand who — could-doubt that not to-the
ἐκκλησίαις προσήκειν, ἢ οὐχὶ καὶ προστάξειεν ἄν; ἡνίκα
churches to-belong or not also would-command — when
μήτε δῶρον ἄμεινον μήτε κάματος χαριέστερος καὶ πολλὴν
neither gift better nor labor more-gracious and much
ἔχων τὴν ὠφέλειαν ἕτερος ἂν γένοιτο, ἢ τοῦ θείου
having the benefit another — could-be than the divine
προτρέποντος νεύματος τὴν περὶ τῶν τοιούτων ποιεῖσθαι
urging nod the about the such(-things) to-make
σπουδήν, καὶ ἃ μετὰ πονηρῶν ἐξῃρέθη προφάσεων
zeal and which with wicked were-taken pretexts
τῶν ἀδίκων καὶ μοχθηροτάτων ἀνδρῶν, ἀποκατασταθέντα
of-the unjust and most-wicked men restored
δικαίως ταῖς εὐαγέσιν αὖθις ἐκκλησίαις ἀποσωθῆναι."
justly to-the holy again churches to-be-recovered

„Ἐπειδὴ δὲ ὁλοκλήρου προνοίας ἂν εἴη μηδὲ τούτους 41
since and of-complete providence — it-would-be not-even these
σιωπῇ παρελθεῖν, ὅσοιπερ ἢ ὠνῆς δικαίῳ ἐπρίαντό
in-silence to-pass-by as-many-as either by-purchase's right bought
τι παρὰ τοῦ ταμιείου ἢ κατὰ δωρεὰν κατέσχον
anything from the treasury or by gift held
συγχωρηθέν, μάτην καὶ ἐπὶ τὰ τοιαῦτα τὰς ἀπλήστους
having-been-granted in-vain also to the such(-things) the insatiable
ἐπιθυμίας ἐκτείνοντες, γινωσκέτωσαν, ὡς οἱ τοιοῦτοι, εἰ καὶ
desires stretching let-them-know that the such(-men) if even
ὅτι μάλιστα οἷς ἐτόλμησαν πρίασθαι ἀλλοτρίαν τὴν παρ᾽
as most by-what they-dared to-buy alien the from
ἡμῶν εἰς αὐτοὺς ἐπειράθησαν καταστῆσαι φιλανθρωπίαν,
us toward them tried to-make humanity
ὅμως ταύτης εἰς τὸν δυνατὸν καὶ πρέποντα τρόπον οὐκ
nevertheless of-this in the possible and fitting way not
ἀτυχήσουσιν. ταῦτα μὲν οὖν εἰς τοσοῦτον ἀνήχθω.“
they-will-fail these(-things) indeed then to so-far let-be-brought-up
„Ἐπειδὴ δὲ ἀποδείξεσιν ἐναργεστάταις καὶ σαφεστάταις 42
since and by-proofs most-evident and clearest
ἐξεφάνη ἀρετῇ τε τοῦ πάντα δυνατοῦ θεοῦ καὶ παραινέσεσιν
has-appeared by-virtue and of-the all powerful God and by-exhortations
ἅμα καὶ βοηθείαις, ἃς ὑπὲρ ἐμοῦ συχνὰς ἀξιοῖ
at-once and helps which on-behalf-of me frequent he-deigns
ποιεῖσθαι, τὴν πρότερον κατέχουσαν πάντα τὰ ἀνθρώπεια
to-make the formerly holding all the human(-things)
δυσχέρειαν ἐκ πάσης ἤδη ἐληλάσθαι τῆς ὑφ᾽ ἡλίῳ,
difficulty from all already to-have-been-driven the(-land) under (the)-sun
οἱ καθ᾽ ἕνα τε καὶ σύμπαντες ἐσπουδασμέναις καθορᾶτε
you by one both and all-together with-earnest behold
φροντίσιν, τίς ἐκείνη καθέστηκεν ἐξουσία, τίς χάρις, ἣ
cares what that has-become power what grace which

τῶν μὲν πονηροτάτων καὶ μοχθηροτάτων τὸ ὡς εἰπεῖν
of-the indeed most-wicked and most-depraved the so to-speak
σπέρμα ἠφάνισέν τε καὶ διέφθειρεν, τῶν δὲ ἀγαθῶν τὴν
seed obliterated both and destroyed of-the but good the
εὐφροσύνην ἀνακληθεῖσαν ἐπὶ πάσας ἐκτείνει τὰς χώρας
gladness recalled over all extends the lands
ἀφθόνως, καὶ αὖθις αὐτόν τε τὸν θεῖον νόμον τὰ εἰκότα
ungrudgingly and again itself both the divine law the(-things) fitting
μετὰ παντὸς σεβάσματος θεραπεύεσθαι, τούς τε τούτῳ
with all reverence to-be-served the(-ones) and to-this
σφᾶς αὐτοὺς καθιερώσαντας τὰ προσήκοντα σέβειν,
them selves having-dedicated the(-things) befitting to-revere
ἐξουσίαν δίδωσιν ἅπασαν. οἳ καθάπερ ἔκ τινος σκότους
authority gives all who as-if from some darkness
βαθυτάτου ἀνακύψαντες καὶ λαμπρὰν τῶν πραγμάτων
deepest having-emerged and bright of-the affairs
λαβόντες γνῶσιν, θεραπείαν τε τὴν προσήκουσαν τοῦ
having-gained knowledge service both the befitting of-the
λοιποῦ περὶ αὐτὸν καὶ τιμὴν σύμφωνον ἐπιδείξονται.
future toward him and honor harmonious will-show
προτεθήτω ἐν τοῖς ἡμετέροις ἀνατολικοῖς μέρεσιν.“
let-it-be-posted in the our eastern parts

The laws took effect at once: most governors were Christians, pagan officials were forbidden to sacrifice, and two laws banned idols, divination, and sacrifice and ordered churches enlarged at the treasury's cost, as the emperor's letter to Eusebius bids. He wrote to the eastern provincials: the earlier emperors were savage while his father honored God; Apollo's oracle blamed the just on earth, the senior emperor of the day persecuted, and the persecutors have gone to their punishment. He prays God to heal the east, lets the pagans keep their temples, and bids no one harm another for his belief.

Τὸ μὲν δὴ πρῶτον ὡς ἡμᾶς καταπεμφθὲν βασιλέως 43
the indeed truly first to us sent-down of-emperor
γράμμα ταῦτα διετάττετο. αὐτίκα δὲ δι' ἔργων
writing these(-things) ordained at-once and through deeds
ἐχώρει τὰ πρὸς τοῦ νόμου διηγορευμένα, καὶ πάντα
proceeded the(-things) by the law declared and all(-things)
ἐπράττετο τἀναντία τοῖς μικρὸν ἔμπροσθεν ὑπὸ
were-done the-opposite to-the(-things) little before by
τῆς τυραννικῆς ὠμότητος τετολμημένοις, ἀπήλαυόν τε
the tyrannical cruelty dared enjoyed and
βασιλικῶν δωρεῶν οἷς ταῦτα νενομοθέτητο.
imperial gifts those-for-whom these(-things) had-been-legislated
Μεταβὰς δ' ἐκ τούτων βασιλεὺς πραγμάτων ἐνεργῶν 44
having-passed and from these emperor of-affairs active
ἥπτετο. καὶ πρῶτα μὲν τοῖς κατ' ἐπαρχίας διῃρημένοις
laid-hold and first indeed to-the by provinces divided
ἔθνεσιν ἡγεμόνας κατέπεμπεν, τῇ σωτηρίῳ πίστει
nations governors he-sent-down to-the saving faith
καθωσιωμένους τοὺς πλείους, ὅσοι δ' ἑλληνίζειν ἐδόκουν,
devoted the most as-many-as but to-be-Greek seemed
τούτοις θύειν ἀπείρητο. ὁ δ' αὐτὸς ἦν νόμος καὶ ἐπὶ τῶν
to-these to-sacrifice was-forbidden the and same was law also for the

ὑπερκειμένων τὰς ἡγεμονικὰς ἀρχὰς ἀξιωμάτων, ἐπί τε
surpassing the governors' offices dignities for both
τῶν ἀνωτάτω καὶ τὴν ἔπαρχον διειληφότων ἐξουσίαν. ἢ
the highest and the prefectural having-held authority either
γὰρ Χριστιανοῖς οὖσιν ἐμπρέπειν ἐδίδου τῇ προσηγορίᾳ,
for to-Christians being to-be-distinguished he-allowed by-the title
ἢ διακειμένοις ἑτέρως τὸ μὴ εἰδωλολατρεῖν παρήγγειλεν.
or (to-those)-disposed otherwise the not to-worship-idols he-commanded
45 Εἶτα ἑξῆς δύο κατὰ τὸ αὐτὸ ἐπέμποντο νόμοι, ὁ
then next two at the same(-time) were-sent laws the(-one)
μὲν εἴργων τὰ μυσαρὰ τῆς κατὰ πόλεις καὶ χώρας τὸ
indeed restraining the abominations of-the in cities and countries the
παλαιὸν συντελουμένης εἰδωλολατρείας, ὡς μήτε ἐγέρσεις
old(-time) practiced idolatry so-that neither erections
ξοάνων ποιεῖσθαι τολμᾶν, μήτε μαντείαις καὶ ταῖς
of-wooden-images to-make to-dare nor in-divinations and the
ἄλλαις περιεργίαις ἐπιχειρεῖν, μήτε μὴν θύειν καθόλου
other superstitions to-engage nor indeed to-sacrifice at-all
μηδένα, ὁ δὲ τῶν εὐκτηρίων οἴκων τὰς οἰκοδομὰς
anyone the(-other) and of-the of-prayer houses the buildings
ὑψοῦν αὔξειν τε εἰς πλάτος καὶ μῆκος τὰς ἐκκλησίας
to-raise to-increase and in breadth and length the churches
τοῦ θεοῦ διαγορεύων, ὡσανεὶ μελλόντων τῷ θεῷ σχεδὸν
— of-God declaring as-though being-about — to-God almost
εἰπεῖν ἁπάντων ἀνθρώπων τοῦ λοιποῦ προσοικειοῦσθαι
to-say of-all men for-the rest(-of-time) to-be-attached
τῆς πολυθέου μανίας ἐκποδὼν ἠρμένης. τοιαῦτα γὰρ
of-the polytheistic madness out-of-the-way having-been-removed such(-things) for
φρονεῖν τε καὶ γράφειν τοῖς κατὰ τόπον ἄρχουσι βασιλέα
to-think both and to-write to-the by place rulers emperor
ἡ αὐτοῦ περὶ τὸν θεὸν ἐνῆγεν ὁσία, χρημάτων δὲ μὴ
the his toward — God led holiness of-money and not

φείδεσθαι δόσεως ἀλλ᾽ ἐξ αὐτῶν τῶν βασιλικῶν θησαυρῶν
to-spare (in)-giving but from the-very the imperial treasuries
τὰς ἐπισκευὰς ποιεῖσθαι περιεῖχεν ὁ νόμος. ἐγράφετο δὲ
the repairs to-make contained the law was-written and
καὶ τοῖς κατὰ πάντα τόπον τῶν ἐκκλησιῶν προέδροις
also to-the in every place of-the churches presidents
τοιαῦτα, ὁποῖα καὶ ἡμῖν ἐπιστέλλειν ἠξίου, πρώτην
such(-things) as also to-us to-send-letters he-deigned first
ταύτην εἰς ἡμέτερον πρόσωπον γραφὴν διαπεμψάμενος.
this to our person writing having-sent
„Νικητὴς Κωνσταντῖνος Μέγιστος Σεβαστὸς Εὐσεβίῳ. 46
Victor Constantine Greatest Augustus to-Eusebius
Ἕως τοῦ παρόντος χρόνου τῆς ἀνοσίου βουλήσεως καὶ
until the present time of-the unholy will and
τυραννίδος τοὺς ὑπηρέτας τοῦ σωτῆρος θεοῦ διωκούσης,
tyranny the servants of-the savior God persecuting
πεπίστευκα καὶ ἀκριβῶς ἐμαυτὸν πέπεικα πασῶν τῶν
I-have-believed and exactly myself have-persuaded of-all the
ἐκκλησιῶν τὰ ἔργα ἢ ὑπὸ ἀμελείας διεφθάρθαι ἢ φόβῳ
churches the works either by neglect to-have-been-ruined or by-fear
τῆς ἐπικειμένης ἀδικίας ἐλάττονα τῆς ἀξίας γεγενῆσθαι,
of-the impending injustice less than-the worth to-have-become
ἀδελφὲ προσφιλέστατε. νυνὶ δὲ τῆς ἐλευθερίας ἀποδοθείσης
brother most-beloved now but the freedom having-been-restored
καὶ τοῦ δράκοντος ἐκείνου ἀπὸ τῆς τῶν κοινῶν
and the dragon that from the of-the common(-affairs)
διοικήσεως θεοῦ τοῦ μεγίστου προνοίᾳ ἡμετέρᾳ δ᾽ ὑπηρεσίᾳ
administration of-God the greatest by-providence by-our and service
διωχθέντος, ἡγοῦμαι καὶ πᾶσι φανερὰν γεγενῆσθαι τὴν
having-been-driven I-think also to-all clear to-have-become the
θείαν δύναμιν, καὶ τοὺς ἢ φόβῳ ἢ ἀπιστίᾳ ἁμαρτήμασί
divine power and the(-ones) either by-fear or by-unbelief in-sins

τισι περιπεσόντας ἐπιγνόντας τε τὸ ὄντως ὂν ἥξειν
some having-fallen having-recognized and the truly being to-come
ἐπὶ τὴν ἀληθῆ καὶ ὀρθὴν τοῦ βίου κατάστασιν. ὅσων
to the true and right of-the life condition of-as-many
τοίνυν ἢ αὐτὸς προίστασαι ἐκκλησιῶν ἢ ἄλλους τοὺς
therefore either you-yourself preside churches or other the
κατὰ τόπον προισταμένους ἐπισκόπους πρεσβυτέρους τε ἢ
by place presiding bishops presbyters and or
διακόνους οἶσθα, ὑπόμνησον σπουδάζειν περὶ τὰ ἔργα τῶν
deacons you-know remind(-them) to-be-zealous about the works of-the
ἐκκλησιῶν, ἢ ἐπανορθοῦσθαι τὰ ὄντα ἢ εἰς μείζονα
churches either to-repair the existing(-ones) or into greater
αὔξειν ἢ ἔνθα ἂν χρεία ἀπαιτῇ καινὰ ποιεῖν. αἰτήσεις δὲ
to-increase or where — need demands new to-make you-will-ask and
καὶ αὐτὸς καὶ διὰ σοῦ οἱ λοιποὶ τὰ ἀναγκαῖα παρά τε
both you-yourself and through you the others the necessary(-things) from both
τῶν ἡγεμονευόντων καὶ τῆς ἐπαρχικῆς τάξεως. τούτοις γὰρ
the governors and the prefectural office to-these for
ἐπεστάλη πάσῃ προθυμίᾳ ἐξυπηρετήσασθαι τοῖς ὑπὸ τῆς
it-was-written with-all eagerness to-serve the(-things) by the
σῆς ὁσιότητος λεγομένοις. ὁ θεός σε διαφυλάξει, ἀδελφὲ
your holiness said — God you will-preserve brother
ἀγαπητέ.“ ταῦτα μὲν οὖν καθ’ ἕκαστον ἔθνος ἐγράφετο
beloved these(-things) indeed then to each nation were-written
τοῖς τῶν ἐκκλησιῶν προεστῶσι, τὰ ἀκόλουθά τε
to-the of-the churches presiding the(-things) consistent and
τούτοις πράττειν οἱ τῶν ἐθνῶν ἡγεμόνες ἐκελεύοντο, σὺν
with-these to-do the of-the nations governors were-ordered with
πολλῷ τε τάχει δι’ ἔργων ἐχώρει τὰ νενομοθετημένα.
much and speed through deeds proceeded the(-things) legislated

Ἐπιτείνας δ' ἔτι μᾶλλον βασιλεὺς τὴν πρὸς τὸν θεὸν 47
having-intensified and still more emperor the toward — God
ὁσίαν, διδασκαλίαν ἀπελεγκτικὴν τῆς εἰδωλολάτρου πλάνης
holy teaching refuting of-the idolatrous error
τῶν πρὸ αὐτοῦ κεκρατηκότων τοῖς κατὰ πᾶν ἔθνος
of-the(-ones) before him having-ruled to-the in every nation
ἐπαρχιώταις κατέπεμπεν, λογιώτερον τοὺς ἀρχομένους
provincials he-sent-down more-learnedly the ruled
προτρέπων τὸν ἐπὶ πάντων θεὸν γνωρίζειν αὐτόν τε τὸν
exhorting the over all God to-know himself and —
Χριστὸν αὐτοῦ διαρρήδην ἐπιγράφεσθαι σωτῆρα. καὶ ταύτην
Christ his expressly to-inscribe (as)-savior and this
δὲ τὴν γραφήν, αὐτόγραφον οὖσαν αὐτοῦ μεταληφθεῖσαν δ'
also the writing autograph being his translated and
ἐκ τῆς Ῥωμαίων φωνῆς, ἀπολαβεῖν ἀναγκαῖον τῷ παρόντι
from the of-Romans tongue to-take-in (is)-necessary to-the present
λόγῳ, ὡς ἂν δοκοῖμεν αὐτοῦ βασιλέως ἐπακούειν ταῖς
account that — we-may-seem of-the-very emperor to-hear to-the
πάντων ἀνθρώπων ἀκοαῖς τοῦτον ἐκβοῶντος τὸν τρόπον.
of-all men ears this proclaiming the manner
Βασιλέως ἐπιστολὴ κατὰ πάσας τὰς ἐπαρχίας. „Νικητὴς 48
of-emperor letter to all the provinces Victor
Κωνσταντῖνος Μέγιστος Σεβαστὸς ἐπαρχιώταις ἀνατολικοῖς.
Constantine Greatest Augustus to-provincials eastern
Πάντα μὲν ὅσα τοῖς κυριωτάτοις τῆς φύσεως
all(-things) indeed as-many-as by-the most-sovereign of-the nature
περιέχεται νόμοις τῆς κατὰ τὴν θείαν διάταξιν προνοίας
are-contained laws of-the according-to the divine arrangement providence
τε καὶ θεωρίας ἱκανὴν αἴσθησιν τοῖς πᾶσι παρέχει, οὐδὲ
both and contemplation sufficient perception to-the all furnish nor
ἐστί τις ἀμφιβολία οἷς κατ' εὐθεῖαν γνώσεως ὁδὸν ἡ
is any doubt to-those-whose along straight of-knowledge road the

διάνοια ἐπ᾽ ἐκεῖνον ἄγεται τὸν σκοπόν, ὡς ἡ τοῦ ὑγιοῦς
mind to that is-led the goal that the of-the sound
λογισμοῦ καὶ τῆς ὄψεως αὐτῆς ἡ ἀκριβὴς κατάληψις μιᾷ
reasoning and of-the sight itself the exact apprehension by-one
ῥοπῇ τῆς ἀληθοῦς ἀρετῆς ἐπὶ τὴν γνῶσιν ἀναφέρει τοῦ
inclination of-the true virtue to the knowledge brings-up —
θεοῦ. διόπερ πᾶς συνετὸς ἀνὴρ οὐκ ἄν ποτε ταραχθείη
of-God wherefore every intelligent man not — ever would-be-troubled
τοὺς πολλοὺς ὁρῶν ἐναντίαις προαιρέσεσι φερομένους.
the many seeing by-opposite choices borne
ἀνόνητος γὰρ ἂν ἡ τῆς ἀρετῆς ἐλάνθανε χάρις, εἰ
unprofitable for — the of-the virtue would-be-unnoticed grace if
μὴ καταντικρὺ τὸν τῆς διεστραμμένης ἀπονοίας βίον ἡ
not opposite the of-the perverted madness life the
κακία προυβέβλητο. διὸ τῇ μὲν ἀρετῇ στέφανος
wickedness had-been-set wherefore for-the indeed virtue (a)-crown
πρόκειται, τῆς δὲ κρίσεως αὐθεντεῖ ὁ ὕψιστος θεός. ἐγὼ
is-set-before of-the and judgment has-authority the highest God I
δ᾽ ὡς ἔνι μάλιστα φανερῶς περὶ τῶν κατ᾽ ἐμαυτὸν
and as is-possible most plainly about the regarding myself
ἐλπίδων πᾶσιν ὑμῖν ὁμολογῆσαι πειράσομαι.“
hopes to-all you to-confess I-shall-try

49 „Ἔσχον ἔγωγε τοὺς πρὸ τούτου γενομένους αὐτοκράτορας
I-held I the before this having-been autocrats
διὰ τὸ τῶν τρόπων ἄγριον ἀποσκλήρους, μόνος δ᾽
because-of the of-the manners savagery (as)-harsh alone but
ὁ πατὴρ ὁ ἐμὸς ἡμερότητος ἔργα μετεχειρίζετο, μετὰ
the father the my of-gentleness works practiced with
θαυμαστῆς εὐλαβείας ἐν πάσαις ταῖς ἑαυτοῦ πράξεσι
wonderful reverence in all the his-own deeds
τὸν σωτῆρα θεὸν ἐπικαλούμενος. ὅσοι δὲ λοιποὶ οὐχ
the savior God invoking as-many-as but rest not

ὑγιαίνοντες τὰς φρένας ἀγριότητος μᾶλλον ἢ πραότητος
being-sound the minds of-savagery rather than of-mildness
ἐπεμέλοντο, καὶ ταύτην ἔτρεφον ἀφθόνως, ἐπὶ τῶν ἰδίων
took-care and this nourished ungrudgingly in the own
καιρῶν τὸν ἀληθῆ λόγον διαστρέφοντες, τῆς δὲ πονηρίας
times the true word perverting of-the and wickedness
αὐτοῖς ἡ δεινότης εἰς τοσοῦτον ἐξήπτετο, ὡς πάντων ὁμοῦ
for-them the terribleness to so-great was-kindled that all together
τῶν θείων τε καὶ ἀνθρωπίνων πραγμάτων εἰρηνευομένων
the divine both and human affairs being-at-peace
ἐμφυλίους ὑπ᾽ ἐκείνων πολέμους ἀναρριπίζεσθαι.“
civil by those wars to-be-kindled
„Τὸν Ἀπόλλω τὸ τηνικαῦτα ἔφασαν ἐξ ἄντρου τινὸς 50
— Apollo the then they-said from cave some
καὶ σκοτίου μυχοῦ οὐχὶ δ᾽ ἐξ ἀνθρώπου χρῆσαι,
and dark recess not and from (a)-man to-have-given-oracle
ὡς ἄρα οἱ ἐπὶ τῆς γῆς δίκαιοι ἐμπόδιον εἶεν τοῦ
that after-all the(-ones) upon the earth just (a)-hindrance were of-the
ἀληθεύειν αὐτόν, καὶ διὰ τοῦτο ψευδεῖς τῶν τριπόδων
to-speak-truth him and because-of this false of-the tripods
τὰς μαντείας ποιεῖσθαι. τοῦτο γάρ τοι ἡ ἱερεία αὐτοῦ,
the prophecies to-be-made this for surely the priestess his
κατηφεῖς τοὺς πλοκάμους ἀνεῖσα ὑπὸ μανίας τ᾽
downcast the locks having-let-loose by madness and
ἐλαυνομένη, τὸ ἐν ἀνθρώποις κακὸν ἀπωδύρετο. ἀλλ᾽
driven the among men evil lamented but
ἴδωμεν ταῦτα εἰς ὁποῖον τέλος ἐξώκειλε.
let-us-see these(-things) to what-sort end they-ran-aground
Σὲ νῦν τὸν ὕψιστον θεὸν καλῶ· ἠκροώμην τότε κομιδῇ 51
you now the highest God I-call I-was-hearing then quite
παῖς ἔτι ὑπάρχων, πῶς ὁ κατ᾽ ἐκεῖνο καιροῦ παρὰ
(a)-boy still being how the(-one) at that of-time among

τοῖς Ῥωμαίων αὐτοκράτορσιν ἔχων τὰ πρωτεῖα, δείλαιος,
the of-Romans autocrats holding the first-place wretched
ἀληθῶς δείλαιος, πλάνῃ τὴν ψυχὴν ἠπατημένος, παρὰ
truly wretched by-error the soul deceived from
τῶν δορυφορούντων αὐτόν, τίνες ἄρα εἶεν οἱ πρὸς
the(-ones) guarding him who after-all were the(-ones) on
τῇ γῇ δίκαιοι, πολυπραγμονῶν ἐπυνθάνετο, καί τις τῶν
the earth just meddling inquired and one of-the
περὶ αὐτὸν θυηπόλων ἀποκριθείς, Χριστιανοὶ δήπουθεν, ἔφη.
around him sacrificers having-answered Christians surely he-said
ὁ δὲ τὴν ἀπόκρισιν ὥσπερ τι βροχθίσας μέλι τὰ κατὰ
he but the answer as-if some having-gulped honey the against
τῶν ἀδικημάτων εὑρεθέντα ξίφη κατὰ τῆς ἀνεπιλήπτου
the crimes found swords against the blameless
ὁσιότητος ἐξέτεινεν. αὐτίκα δὴ οὖν διατάγματα λύθρων
holiness he-stretched-out at-once indeed then edicts of-gore
μιαιφόνοις ὡς εἰπεῖν ἀκωκαῖς συνέταττε, τοῖς τε δικασταῖς
with-bloodstained so to-say points he-composed to-the and judges
τὴν κατὰ φύσιν ἀγχίνοιαν εἰς εὕρεσιν κολαστηρίων
the according-to nature sagacity to (the)-invention of-punishments
καινοτέρων ἐκτείνειν παρεκελεύετο.“
newer to-strain he-urged

52 „Ἦν τότε, ἦν ἰδεῖν, μεθ’ ὅσης ἐξουσίας
it-was-possible then it-was-possible to-see with how-much license
ἡ σεμνότης ἐκείνη τῆς θεοσεβείας τῇ τῆς ὠμότητος
the majesty that of-the godliness by-the of-the cruelty
συνεχείᾳ οὐ τὰς τυχούσας ἐφ’ ἑκάστης ἡμέρας ὕβρεις
continuance not the ordinary on each day outrages
ὑφίστατο, σωφροσύνη δ’ ἣν τῶν πολεμίων οὐδεὶς
underwent chastity and which of-the enemies no-one
ἠδίκησε πώποτε ὀργίλων πολιτῶν παροινίας πάρεργον
wronged ever of-wrathful citizens drunken-violence (a)-by-work

ἐγίγνετο. ποῖον πῦρ ποῖαι βάσανοι ποῖον στρεβλωτηρίων
became what-sort fire what-sort tortures what-sort of-racks
εἶδος οὐχὶ παντὶ σώματι καὶ ἡλικίᾳ πάσῃ ἀδιακρίτως
kind not to-every body and age all indiscriminately
προσήγετο; τὸ τηνικαῦτα ἐδάκρυε μὲν ἀναμφιβόλως ἡ
was-applied the then wept indeed undoubtedly the
γῆ, ὁ δὲ τὰ σύμπαντα περιέχων κόσμος τῷ λύθρῳ
earth the and the all(-things) encompassing world with-the gore
χραινόμενος ἀπεκλάετο, ἥ γε μὴν ἡμέρα αὐτὴ τῷ
being-stained lamented the at-least indeed day itself in-the
πένθει τοῦ θεάματος ἐνεκαλύπτετο.“
mourning of-the spectacle was-veiled
„Ἀλλὰ τί ταῦτα; αὐχοῦσι νῦν ἐπ᾽ ἐκείνοις οἱ βάρβαροι 53
but what these(-things) boast now at those the barbarians
οἱ τοὺς κατ᾽ ἐκεῖνο καιροῦ ἐξ ἡμῶν φεύγοντας
the(-ones) the at that time from us fleeing
ὑποδεδεγμένοι καὶ φιλανθρώπῳ τηρήσαντες αἰχμαλωσίᾳ,
having-received and humane having-kept in-captivity
ὅτι οὐ μόνον τὴν σωτηρίαν ἀλλὰ καὶ τὰ τῆς
because not only the safety but also the(-things) of-the
σεμνότητος αὐτοῖς κατέστησαν ἐν ἀσφαλείᾳ ἔχειν. καὶ νῦν
majesty for-them they-established in safety to-have and now
τὸ Ῥωμαίων γένος κηλῖδα ταύτην διηνεκῆ φέρει, ἣν οἱ
the of-Romans race stain this continual bears which the
κατ᾽ ἐκεῖνο καιροῦ τῆς Ῥωμαϊκῆς οἰκουμένης ἐλαυνόμενοι
at that time from-the Roman inhabited-world driven-out
Χριστιανοὶ καὶ βαρβάροις προσφεύγοντες προσετρίψαντο.“
Christians also to-barbarians fleeing rubbed-on
„Ἀλλὰ τί τῶν θρήνων ἐκείνων καὶ τοῦ κοινοῦ τῆς 54
but why of-the lamentations those and of-the common of-the
οἰκουμένης πένθους ἐπὶ πλέον μεμνῆσθαί με δεῖ;
inhabited-world mourning to more to-remember me is-it-needful

οἴχονται λοιπὸν καὶ ἐκεῖνοι οἱ τοῦ μύσους αὐθένται, πρὸς
they-are-gone thenceforth also those the of-the pollution authors for
διηνεκῆ κόλασιν τοῖς Ἀχέροντος βαράθροις ἐκδοθέντες, σὺν
continual punishment to-the of-Acheron chasms handed-over with
αἰσχρῷ τέλει. πολέμοις γὰρ ἐμφυλίοις καταμιγέντες οὔτ'
shameful end with-wars for civil having-been-mingled neither
ὄνομα οὔτε γένος αὐτῶν καταλελοίπασιν. ὃ δὴ οὐκ
name nor race of-them they-have-left which indeed not
ἂν αὐτοῖς συμβεβήκει, εἰ μὴ ἡ ἀσεβὴς ἐκείνη τῶν τοῦ
— to-them would-have-happened if not the impious that of-the of-the
Πυθίου χρηστηρίων μαντεία κίβδηλον δύναμιν ἐσχήκει."
Pythian oracles prophecy counterfeit power had-had
55 „Σὲ νῦν τὸν μέγιστον θεὸν παρακαλῶ· εἴης πρᾶός τε
you now the greatest God I-beseech may-you-be gentle both
καὶ εὐμενὴς τοῖς σοῖς ἀνατολικοῖς, εἴης πᾶσι τοῖς σοῖς
and gracious to-the your easterners may-you-be to-all the your
ἐπαρχιώταις ὑπὸ χρονίου συμφορᾶς συντριβεῖσι, δι' ἐμοῦ
provincials by long misfortune crushed through me
τοῦ σοῦ θεράποντος ὀρέγων ἴασιν. καὶ ταῦτά γε αἰτῶ
the your servant offering healing and these(-things) at-least I-ask
οὐκ ἀπεικότως, ὦ δέσποτα τῶν ὅλων, ἅγιε θεέ· ταῖς
not unreasonably O master of-the whole(-world) holy God by-the
σαῖς γὰρ ὑφηγήσεσιν ἐνεστησάμην σωτηριώδη πράγματα
your for guidances I-undertook saving affairs
καὶ διήνυσα, τὴν σὴν σφραγῖδα πανταχοῦ προβαλλόμενος
and accomplished the your seal everywhere putting-forward
καλλινίκου ἡγησάμην στρατοῦ· κἂν πού τις τῶν
gloriously-victorious I-led army and-if somewhere any of-the
δημοσίων καλῇ χρεία, τοῖς αὐτοῖς τῆς σῆς ἀρετῆς ἑπόμενος
public(-affairs) calls need by-the same of-the your virtue following
συνθήμασιν ἐπὶ τοὺς πολεμίους πρόειμι. διὰ ταῦτά τοι
tokens against the enemies I-go-forth because-of these(-things) surely

ἀνέθηκά σοι τὴν ἐμαυτοῦ ψυχὴν ἔρωτι καὶ φόβῳ καθαρῶς
I-dedicated to-you the my-own soul with-love and fear purely
ἀνακραθεῖσαν· τὸ μὲν γὰρ ὄνομά σου γνησίως ἀγαπῶ, τὴν
blended the indeed for name your genuinely I-love the
δὲ δύναμιν εὐλαβοῦμαι, ἣν πολλοῖς τεκμηρίοις ἔδειξας καὶ
and power I-revere which by-many proofs you-showed and
τὴν ἐμὴν πίστιν βεβαιοτέραν εἰργάσω. ἐπείγομαι γοῦν καὶ
the my faith firmer you-made I-hasten at-any-rate also
τοὺς ὤμους αὐτὸς ὑποσχὼν τοὺς ἐμοὺς τὸν ἁγιώτατόν
the shoulders myself having-put-under the my the most-holy
σοι οἶκον ἀνανεώσασθαι, ὃν οἱ μυσαροὶ ἐκεῖνοι καὶ
your house to-renew which the abominable those and
ἀσεβέστατοι τῷ ἀτοπήματι τῆς καθαιρέσεως ἐλυμήναντο.“
most-impious by-the outrage of-the demolition ravaged
„Εἰρηνεύεσθαί σου τὸν λαὸν καὶ ἀστασίαστον μένειν 56
to-be-at-peace your the people and unfactious to-remain
ἐπιθυμῶ ὑπὲρ τοῦ κοινοῦ τῆς οἰκουμένης καὶ τοῦ
I-desire for the common of-the inhabited-world and of-the
πάντων ἀνθρώπων χρησίμου. ὁμοίαν τοῖς πιστεύουσιν
of-all men advantage like to-the believing
οἱ πλανώμενοι χαίροντες λαμβανέτωσαν εἰρήνης τε καὶ
the erring rejoicing let-them-receive of-peace both and
ἡσυχίας ἀπόλαυσιν. αὕτη γὰρ ἡ τῆς κοινωνίας γλυκύτης
quiet enjoyment this for the of-the fellowship sweetness
κἀκείνους ἐπανορθώσασθαι καὶ πρὸς τὴν εὐθεῖαν ἀγαγεῖν
those-too to-correct and to the straight to-lead
ὁδὸν ἰσχύσει. μηδεὶς τὸν ἕτερον παρενοχλείτω· ἕκαστος ὅπερ
road will-be-able let-no-one the other trouble each what
ἡ ψυχὴ βούλεται κατεχέτω, τούτῳ κατακεχρήσθω. τοὺς
the soul wishes let-him-hold this let-him-use the(-ones)
δ’ εὖ φρονοῦντας πεπεῖσθαι χρή, ὡς οὗτοι μόνοι ἁγίως
but well minded to-be-persuaded must that these alone holily

καὶ καθαρῶς βιώσονται, οὓς αὐτὸς καλεῖς ἐπαναπαύεσθαι
and purely will-live whom you-yourself call to-rest
τοῖς σοῖς ἁγίοις νόμοις. οἱ δ' ἑαυτοὺς ἀφέλκοντες ἐχόντων
on-the your holy laws those but themselves withdrawing let-them-have
βουλόμενοι τὰ τῆς ψευδολογίας τεμένη· ἡμεῖς ἔχομεν τὸν
wishing the of-the falsehood precincts we have the
φαιδρότατον τῆς σῆς ἀληθείας οἶκον. ὅπερ κατὰ φύσιν
most-radiant of-the your truth house which according-to nature
δέδωκας, τοῦτο κἀκείνοις εὐχόμεθα, ἵνα δηλαδὴ διὰ τῆς
you-have-given this also-to-those we-pray that evidently through the
κοινῆς ὁμονοίας καὶ αὐτοὶ τὴν θυμηδίαν ἀναφέρωνται."
common concord also they the gladness may-receive
57 „Οὐδὲ γάρ ἐστι καινὸν οὐδέ τι νεώτερον τὸ καθ'
not for is (it)-new nor anything newer the(-thing) of
ἡμᾶς, ἀλλ' ἐξ οὗπερ τὴν τῶν ὅλων διακόσμησιν παγίως
us but from when the of-the whole(-world) ordering firmly
γεγενῆσθαι πεπιστεύκαμεν, μετὰ τοῦ πρέποντός σοι
to-have-come-to-be we-have-believed with the fitting to-you
σεβάσματος τοῦτο παρεκελεύσω, ἐσφάλη δὲ τὸ ἀνθρώπινον
reverence this you-commanded erred but the human
γένος πλάναις παντοίαις παρηγμένον· ἀλλὰ σὺ γε διὰ
race by-errors manifold led-astray but you at-least through
τοῦ σοῦ υἱοῦ, ἵνα μὴ τὸ κακὸν ἐπὶ πλέον ἐπιβρίσῃ, καθαρὸν
the your son that not the evil to more might-press-down pure
φῶς ἀνασχὼν ὑπέμνησας περὶ σεαυτοῦ τοὺς πάντας."
light having-raised reminded about yourself the all
58 „Αἱ σαὶ πράξεις ταῦτα πιστοῦνται· τὸ σὸν κράτος ἀθώους
the your deeds these(-things) confirm the your might innocent
ἡμᾶς καὶ πιστοὺς ἐργάζεται, ἥλιος καὶ σελήνη ἔννομον
us and faithful makes (the)-sun and moon lawful
ἔχουσι τὴν πορείαν, οὐδὲ τὰ ἄστρα ἄτακτον ἔχει τὴν
have the course nor the stars disorderly has the

τοῦ κοσμικοῦ κύκλου περιφοράν· αἱ τῶν καιρῶν ἀμοιβαὶ
of-the cosmic circle revolution the of-the seasons alternations
νομίμως ἀνακυκλοῦνται, ἡ τῆς γῆς ἑδραία στάσις τῷ σῷ
lawfully revolve the of-the earth firm standing by-the your
λόγῳ συνέστηκε, καὶ τὸ πνεῦμα κατὰ τὸν ἐπιταχθέντα
word stands and the wind according-to the commanded
θεσμὸν ποιεῖται τὴν κίνησιν, ᾗ τε τῶν ὑδάτων φορὰ
ordinance makes the motion the and of-the waters current
θέουσα πρόεισιν ἀπλέτου ῥεύματος μέτρῳ, ἡ θάλασσα
running goes-forth of-immense stream in-measure the sea
ὅροις ἐμπεριέχεται πεπηγόσι, καὶ ὅ τι ἂν τῇ γῇ καὶ
by-bounds is-contained fixed and whatever — — with-the earth and
τῷ ὠκεανῷ συμπαρεκτείνηται, τοῦτο πᾶν θαυμασταῖς τισι
the ocean extends-alongside this all by-wonderful some
καὶ χρησίμοις τεχνάζεται πολυτελείαις. ὅπερ εἰ μὴ κατὰ
and useful is-wrought costly(-works) which if not according-to
κρίσιν τῆς σῆς βουλήσεως ἐπράττετο, ἀναμφιβόλως ἂν
(the)-judgment of-the your will were-done undoubtedly —
ἡ τοσαύτη διαφορὰ καὶ ἡ πολλὴ τῆς ἐξουσίας διάκρισις
the so-great difference and the great of-the power distinction
παντὶ τῷ βίῳ καὶ τοῖς πράγμασιν ἐλυμήνατο. οἱ γὰρ
all the life and the affairs would-have-ruined they for
πρὸς ἑαυτοὺς μαχεσθέντες χαλεπώτερον ἂν τὸ ἀνθρώπινον
against themselves having-fought more-grievously — the human
κατέβλαψαν γένος· ὅπερ καὶ μὴ ὁρώμενοι πράττουσιν.“
would-have-harmed race which even not seen they-do
„Ἀλλὰ χάρις σοι πλείστη, δέσποτα τῶν ἁπάντων, μέγιστε 59
but thanks to-you most master of-the all greatest
θεέ· ὅσον γὰρ διαφόροις σπουδάσμασιν ἡ ἀνθρωπότης
God as-much-as for by-various pursuits the humanity
γνωρίζεται, τοσούτῳ μᾶλλον τοῖς ὀρθότερον φρονοῦσι καὶ
is-known by-so-much more to-the(-ones) more-rightly minded and

γνησίας ἐπιμελομένοις ἀρετῆς τὰ τοῦ θείου λόγου συνίσταται
genuine caring-for virtue the of-the divine word are-commended
μαθήματα. πλὴν ὅστις αὐτὸν θεραπεύεσθαι κωλύει, ἄλλῳ
teachings however whoever himself to-be-healed hinders to-another
τοῦτο μὴ λογιζέσθω· ἡ γὰρ ἰατρικὴ τῶν ἰαμάτων
this not let-him-reckon the for medicine of-the cures
προκαθέζεται ἅπασιν εἰς τουμφανὲς προκειμένη. μόνον μή
sits-before to-all into the-open set-forth only not
τις καταβλαπτέτω τοῦθ', ὅπερ ἄχραντον εἶναι τὰ πράγματα
anyone let-harm this which undefiled to-be the affairs
παρεγγυᾷ. χρησώμεθα τοίνυν ἅπαντες ἄνθρωποι τῇ τοῦ
enjoins let-us-use therefore all men the of-the
δοθέντος ἀγαθοῦ συγκληρίᾳ, τουτέστι τῷ τῆς εἰρήνης καλῷ,
given good common-lot that-is the of-the peace good
χωρίζοντες δηλαδὴ τὴν συνείδησιν ἀπὸ παντὸς ἐναντίου.
separating evidently the conscience from every opposite(-thing)
60 Πλὴν ἕκαστος ὅπερ πείσας ἑαυτὸν ἀναδέδεκται, τούτῳ
however each what having-persuaded himself has-taken-up with-this
τὸν ἕτερον μὴ καταβλαπτέτω· ὅπερ θάτερος εἶδέν τε καὶ
the other not let-him-harm what the-one saw both and
ἐνόησεν, τούτῳ τὸν πλησίον εἰ μὲν γενέσθαι δυνατόν
understood with-this the neighbor if indeed to-happen (it-is)-possible
ὠφελείτω, εἰ δ' ἀδύνατον παραπεμπέσθω. ἄλλο γάρ ἐστι
let-him-help if but impossible let-him-let-pass other for is
τὸ τὸν ὑπὲρ ἀθανασίας ἆθλον ἑκουσίως ἐπαναιρεῖσθαι, ἄλλο
the the for immortality contest willingly to-take-up other
τὸ μετὰ τιμωρίας ἐπαναγκάζειν. ταῦτα εἶπον, ταῦτα
the with punishment to-compel these(-things) I-said these(-things)
διεξήλθον μακρότερον ἢ ὁ τῆς ἐμῆς ἐπιεικείας ἀπαιτεῖ
I-went-through longer than the of-the my clemency demands
σκοπός, ἐπειδὴ τὴν τῆς ἀληθείας ἀποκρύψασθαι πίστιν οὐκ
aim since the of-the truth to-hide faith not

ἐβουλόμην, μάλισθ ὅτι τινὲς ὡς ἀκούω φασὶ τῶν ναῶν
I-wished especially because some as I-hear say of-the temples
περιῃρῆσθαι τὰ ἔθη καὶ τοῦ σκότους τὴν ἐξουσίαν·
to-have-been-removed the customs and of-the darkness the power
ὅπερ συνεβούλευσα ἂν πᾶσιν ἀνθρώποις, εἰ μὴ τῆς
which I-would-have-advised — to-all men if not the
μοχθηρᾶς πλάνης ἡ βίαιος ἐπανάστασις ἐπὶ βλάβῃ τῆς
of-wicked error the violent rebellion to (the)-harm of-the
κοινῆς σωτηρίας ἀμέτρως ταῖς ἐνίων ψυχαῖς ἐμπεπήγει.“
common salvation immoderately in-the of-some souls had-been-fixed

IX · THE ARIAN QUARREL

While the emperor rejoiced, a dispute that began in Alexandria divided the churches of Egypt, Libya, and the Thebaid. Grieved, he sent a trusted man with a letter to Alexander and Arius: he had hoped to unite all in one faith and to heal Africa's schism, and had looked to the east for light, yet they quarrel over an idle question that Alexander put to his presbyters and Arius answered rashly. Let both forgive one another and give him back his peaceful days. But the letter failed, and the strife spread through all the eastern provinces.

Τοιαῦτα βασιλεὺς ὡσανεὶ θεοῦ μεγαλοφωνότατος κήρυξ τοῖς 61
such(-things) emperor as-though of-God most-loud-voiced herald to-the
ἐπαρχιώταις ἅπασι δι᾽ οἰκείου προσεφώνει γράμματος,
provincials all through own addressed letter
δαιμονικῆς μὲν ἀπείργων τοὺς ἀρχομένους πλάνης, τὴν δ᾽
demonic indeed keeping the ruled from-error the but
ἀληθῆ μετιέναι θεοσέβειαν ἐγκελευόμενος. φαιδρυνομένῳ δ᾽
true to-pursue godliness exhorting being-made-bright but
αὐτῷ ἐπὶ τούτοις φήμη τις διαγγέλλεται ἀμφὶ ταραχῆς
him at these(-things) report a-certain is-announced about disturbance

οὐ σμικρᾶς τὰς ἐκκλησίας διαλαβούσης, ἐφ' ᾗ τὴν ἀκοὴν
not small the churches having-seized at which the hearing
πληγεὶς ἴασιν τῷ κακῷ περιενόει. τὸ δ' ἦν ἄρα
struck (a)-cure for-the evil be-devised the(-thing) but was after-all
τοιόνδε. ἐσεμνύνετο μὲν ὁ τοῦ θεοῦ λεὼς ταῖς τῶν καλῶν
such was-proud indeed the — of-God people with-the of-the good
καλλωπιζόμενος πράξεσιν, οὐδ' ἦν τις ἔξωθεν φόβος
adorning-itself deeds nor was any from-outside fear
ταράττων, ὡς καὶ πρώην λαμπρᾶς καὶ βαθυτάτης εἰρήνης
disturbing as also lately bright and deepest peace
ἀπανταχόθεν τὴν ἐκκλησίαν θεοῦ χάριτι περιφραττούσης·
on-all-sides the church by-God's grace fencing
φθόνος δ' ἄρα τοῖς ἡμετέροις ἐφήδρευε καλοῖς, εἴσω
envy but after-all against-the our lay-in-wait goods within
μὲν εἰσδυόμενος μέσος δ' ἐν αὐτοῖς χορεύων τοῖς τῶν
indeed slipping-in in-the-middle and in the-very dancing the of-the
ἁγίων ὁμίλοις. συμβάλλει δῆτα τοὺς ἐπισκόπους, στάσιν
saints assemblies brings-into-conflict indeed the bishops strife
ἐμβαλὼν ἐρεσχελίας θείων προφάσει δογμάτων, κἄπειθ'
having-thrown-in of-wrangling of-divine on-pretext doctrines and-then
ὡς ἀπὸ μικροῦ σπινθῆρος μέγα πῦρ ἐξεκάετο, ἄκρας
as from (a)-small spark (a)-great fire was-kindled topmost
μὲν ὥσπερ ἀπὸ κορυφῆς ἀρξάμενον τῆς Ἀλεξανδρέων
indeed as from (the)-head having-begun of-the of-Alexandrians
ἐκκλησίας, διαδραμὸν δὲ τὴν σύμπασαν Αἴγυπτόν τε
church having-run-through and the whole Egypt both
καὶ Λιβύην τήν τ' ἐπέκεινα Θηβαΐδα, ἤδη δὲ καὶ τὰς
and Libya the and beyond Thebaid already and also the
λοιπὰς ἐπενέμετο ἐπαρχίας τε καὶ πόλεις, ὥστε οὐ μόνους
remaining it-spread-over provinces both and cities so-that not only
ἦν ἰδεῖν τοὺς τῶν ἐκκλησιῶν προέδρους λόγοις
was-it(-possible) to-see the of-the churches presidents with-words

διαπληκτιζομένους, ἀλλὰ καὶ τὰ πλήθη κατατεμνόμενα, τῶν
fighting but also the multitudes cut-apart some
μὲν ὡς τούσδε τῶν δὲ θατέροις ἐπικλινομένων. τοσοῦτον
indeed toward these others and to-the-others inclining so-far
δὲ διήλαυνεν ἀτοπίας ἡ τῶν γινομένων θέα, ὥστ'
and drove of-absurdity the of-the(-things) happening spectacle that
ἤδη ἐν αὐτοῖς μέσοις τῶν ἀπίστων θεάτροις τὰ σεμνὰ
already in the-very middle of-the unbelievers theaters the august(-things)
τῆς ἐνθέου διδασκαλίας τὴν αἰσχίστην ὑπομένειν χλεύην.
of-the inspired teaching the most-shameful to-endure mockery
Οἱ μὲν οὖν κατ' αὐτὴν τὴν Ἀλεξάνδρειαν νεανικῶς 62
they indeed then in very — Alexandria rashly
περὶ τῶν ἀνωτάτω διεπληκτίζοντο, οἱ δ' ἀμφὶ πᾶσαν
about the highest(-things) fought those and around all
τὴν Αἴγυπτον καὶ τὴν ἄνω Θηβαΐδα προϋποκειμένης
— Egypt and the upper Thebaid of-(a)-pre-existing
παλαιοτέρας ὑποθέσεως χάριν διεστασίαζον, ὡς
older question for-the-sake-of were-at-strife so-that
πανταχοῦ διῃρῆσθαι τὰς ἐκκλησίας. τούτοις δ' ὥσπερ
everywhere to-be-divided the churches with-these and as
σώματος κεκακωμένου σύμπασα Λιβύη συνέκαμνε, συνενόσει
of-(a)-body ill-treated all Libya suffered-with were-sick-with
δὲ καὶ τὰ λοιπὰ μέρη τῶν ἐκτὸς ἐπαρχιῶν. οἱ μὲν
and also the remaining parts of-the outer provinces some indeed
γὰρ ἀπὸ τῆς Ἀλεξανδρείας διεπρεσβεύοντο πρὸς τοὺς
for from — Alexandria sent-embassies to the
κατ' ἐπαρχίαν ἐπισκόπους, οἱ δ' εἰς θάτερον τεμνόμενοι
by province bishops others and to the-other cut-off
μέρος τῆς ὁμοίας ἐκοινώνουν στάσεως.
part of-the like shared strife

63 Ταῦτα δὴ πυθόμενος βασιλεὺς καὶ τὴν ψυχὴν
these(-things) indeed having-learned emperor and in-the soul
ὑπεραλγήσας συμφοράν τε οἰκείαν τὸ πρᾶγμα θέμενος,
having-grieved-exceedingly misfortune and own the affair having-made
παραχρῆμα τῶν ἀμφ᾽ αὐτὸν θεοσεβῶν ὃν εὖ ἠπίστατο
at-once of-the(-men) around him godly whom well he-knew
βίῳ σώφρονι πίστεως τ᾽ ἀρετῇ δεδοκιμασμένον, ἄνδρα
by-life sober of-faith and by-virtue approved (a)-man
λαμπρυνόμενον εὖ μάλα ταῖς ὑπὲρ εὐσεβείας ὁμολογίαις
made-glorious well very by-the for piety confessions
κατὰ τοὺς ἔμπροσθεν χρόνους, βραβευτὴν εἰρήνης τοῖς
in the former times (as)-arbiter of-peace to-the(-ones)
κατὰ τὴν Ἀλεξάνδρειαν διεστῶσιν ἐκπέμπει, γράμμα τ᾽
in — Alexandria at-odds he-sends-out (a)-letter and
ἀναγκαιότατον δι᾽ αὐτοῦ τοῖς τῆς ἐρεσχελίας αἰτίοις
most-necessary through him to-the(-ones) of-the wrangling responsible
ἐπιτίθησιν, ὃ δὴ καὶ αὐτὸ γνώρισμα περιέχον τῆς
he-delivers which indeed also itself (a)-token containing of-the
βασιλέως ἀμφὶ τὸν λαὸν τοῦ θεοῦ κηδεμονίας τῇ περὶ
emperor's toward the people — of-God care in-the about
αὐτοῦ φέρεσθαι διηγήσει καλόν, ἔχον τοῦτον τὸν τρόπον.
him to-be-carried narrative (is)-good having this the manner
64 „Νικητὴς Κωνσταντῖνος Μέγιστος Σεβαστὸς Ἀλεξάνδρῳ
Victor Constantine Greatest Augustus to-Alexander
καὶ Ἀρείῳ. Διπλῆν μοι γεγενῆσθαι πρόθεσιν τούτων,
and to-Arius twofold to-me to-have-been purpose of-these(-things)
ὧν ἔργῳ τὴν χρείαν ὑπέστην, αὐτὸν ὡς εἰκὸς τὸν
of-which by-deed the use I-undertook himself as (is)-fitting the
τῶν ἐμῶν ἐγχειρημάτων βοηθὸν καὶ σωτῆρα τὸν τῶν
of-the my undertakings helper and savior the of-the
ὅλων θεὸν ποιοῦμαι μάρτυρα.
whole(-world) God I-make witness

Πρῶτον μὲν γὰρ τὴν ἁπάντων τῶν ἐθνῶν περὶ τὸ θεῖον 65
first indeed for the of-all the nations about the divine
διάθεσιν πρὸς μίαν ἕξεως σύστασιν ἑνῶσαι, δεύτερον
disposition toward one of-condition constitution to-unite second
δὲ τὸ τῆς κοινῆς οἰκουμένης σῶμα καθάπερ χαλεπῷ
and the of-the common inhabited-world body as by-grievous
τινι τραύματι πεπονηκὸς ἀνακτήσασθαι καὶ συναρμόσαι
some wound having-suffered to-restore and to-fit-together
προὐθυμήθην. ἃ δὴ προσκοπῶν ἕτερον μὲν ἀπορρήτῳ
I-was-eager which indeed considering the-one indeed with-(the)-secret
διανοίας ὀφθαλμῷ συνελογιζόμην, ἕτερον δὲ τῇ τῆς
of-mind eye I-reckoned-up the-other but by-the of-the
στρατιωτικῆς χειρὸς ἐξουσίᾳ κατορθοῦν ἐπειρώμην, εἰδὼς
military hand power to-achieve I-tried knowing
ὡς εἰ κοινὴν ἅπασι τοῖς τοῦ θεοῦ θεράπουσιν ἐπ᾽ εὐχαῖς
that if common for-all the — of-God servants at prayers
ταῖς ἐμαῖς ὁμόνοιαν καταστήσαιμι, καὶ ἡ τῶν δημοσίων
the my concord I-should-establish also the of-the public
πραγμάτων χρεία σύνδρομον ταῖς ἁπάντων εὐσεβέσι
affairs need concurrent with-the of-all pious
γνώμαις τὴν μεταβολὴν καρπώσεται.
purposes the change will-reap
Μανίας γὰρ δήπουθεν οὐκ ἀνεκτῆς ἅπασαν τὴν Ἀφρικὴν 66
of-madness for surely not bearable all — Africa
ἐπιλαβούσης διὰ τοὺς ἀβούλῳ κουφότητι τὴν
having-seized because-of the(-ones) with-thoughtless levity the
τῶν δήμων θρησκείαν εἰς διαφόρους αἱρέσεις σχίσαι
of-the peoples religion into various sects to-split
τετολμηκότας, ταύτην ἐγὼ τὴν νόσον καταστεῖλαι
having-dared this I the disease to-restrain
βουληθείς, οὐδεμίαν ἑτέραν ἀρκοῦσαν τῷ πράγματι
having-wished no other sufficient for-the affair

θεραπείαν ηὕρισκον, ἢ εἰ τὸν κοινὸν τῆς οἰκουμένης ἐχθρὸν
treatment I-found than if the common of-the inhabited-world enemy
ἐξελών, ὃς ταῖς ἱεραῖς ὑμῶν συνόδοις τὴν ἀθέμιτον ἑαυτοῦ
having-removed who to-the holy your synods the lawless his-own
γνώμην ἀντέστησεν, ἐνίους ὑμῶν πρὸς τὴν τῶν πρὸς
opinion opposed some of-you to the of-the(-ones) toward
ἀλλήλους διχονοούντων ὁμόνοιαν βοηθοὺς ἀποστείλαιμι.“
one-another disagreeing concord (as)-helpers I-should-send

67 „Ἐπειδὴ γὰρ ἡ τοῦ φωτὸς δύναμις καὶ ὁ τῆς ἱερᾶς
since for the of-the light power and the of-the holy
θρησκείας νόμος, ὑπὸ τῆς τοῦ κρείττονος εὐεργεσίας
religion law by the of-the stronger benefaction
οἷον ἔκ τινων τῆς ἀνατολῆς κόλπων ἐκδοθείς, ἅπασαν
as from some of-the east bosoms issued all
ὁμοῦ τὴν οἰκουμένην ἱερῷ λαμπτῆρι κατήστραψεν,
together the inhabited-world with-holy lamp lit-up
εἰκότως ὑμᾶς, ὥσπερ τινὰς ἀρχηγοὺς τῆς τῶν ἐθνῶν
fittingly you as some leaders of-the of-the nations
σωτηρίας ὑπάρξειν πιστεύων, ὁμοῦ καὶ ψυχῆς νεύματι
salvation to-be believing at-once both by-(the)-soul's nod
καὶ ὀφθαλμῶν ἐνεργείᾳ ζητεῖν ἐπειρώμην. ἅμα γοῦν
and of-eyes by-activity to-seek I-tried together at-any-rate
τῇ μεγάλῃ νίκῃ καὶ τῇ τῶν ἐχθρῶν ἀληθεῖ θριαμβείᾳ
with-the great victory and the of-the enemies true triumph
τοῦτο πρῶτον εἱλόμην ἐρευνᾶν, ὃ δὴ πρῶτόν μοι
this first I-chose to-search-out which indeed first to-me
καὶ τιμιώτατον ἁπάντων ὑπάρχειν ἡγούμην.“
and most-precious of-all to-be I-thought

68 „Ἀλλ', ὦ καλλίστη καὶ θεία πρόνοια, οἷόν μου τῆς ἀκοῆς
but O most-beautiful and divine providence what-sort my of-the hearing
μᾶλλον δὲ τῆς καρδίας αὐτῆς τραῦμα καίριον ἥψατο, πολλῷ
rather but of-the heart itself (a)-wound deadly it-touched by-much

χαλεπωτέραν τῶν ἐκεῖ καταλειφθέντων τὴν ἐν ὑμῖν
more-grievous than-the(-ones) there left the among you
γιγνομένην διχοστασίαν σημαῖνον, ὡς πλείονος ἤδη τὰ
occurring dissension showing that of-more already the
καθ' ὑμᾶς μέρη θεραπείας δέεσθαι, παρ' ὧν τοῖς ἄλλοις
by you parts of-treatment need from whom for-the others
τὴν ἴασιν ὑπάρξειν ἤλπισα. διαλογιζομένῳ δή μοι τὴν
the healing to-come I-hoped considering indeed to-me the
ἀρχὴν καὶ τὴν ὑπόθεσιν τούτων ἄγαν εὐτελὴς καὶ οὐδαμῶς
beginning and the subject of-these very paltry and in-no-way
ἀξία τῆς τοσαύτης φιλονεικίας ἡ πρόφασις ἐφωράθη.
worthy of-the so-great contention the pretext was-detected
διόπερ ἐπὶ τὴν τῆς ἐπιστολῆς ταύτης ἀνάγκην ἐπειχθείς,
wherefore to the of-the letter this necessity having-been-urged
καὶ πρὸς τὴν ὁμόψυχον ὑμῶν ἀγχίνοιαν γράφων, τήν τε
and to the like-souled your sagacity writing the and
θείαν πρόνοιαν καλέσας ἀρωγὸν τῷ πράγματι, μέσον
divine providence having-called (as)-helper to-the affair (in)-the-middle
τῆς πρὸς ἀλλήλους ὑμῶν ἀμφισβητήσεως οἷον εἰρήνης
of-the toward one-another your dispute as of-peace
πρύτανιν ἐμαυτὸν εἰκότως προσάγω. ὅπερ γὰρ δὴ
president myself fittingly I-bring which for indeed
συναιρομένου τοῦ κρείττονος, εἰ καὶ μείζων ἦν τις ἀφορμὴ
helping the stronger if even greater was some occasion
διχονοίας, οὐ χαλεπῶς ἂν ἠδυνήθην, ὁσίαις τῶν ἀκουόντων
of-dissension not with-difficulty — I-could-have by-holy of-the hearers
γνώμαις ἐγχειρίζων τὸν λόγον, εἰς τὸ χρησιμώτερον
purposes entrusting the word to the more-useful
ἕκαστον μεταστῆσαι, τοῦτο, μικρᾶς καὶ λίαν εὐτελοῦς
each to-transfer this of-small and very paltry
ἀφορμῆς ὑπαρχούσης, ἣ πρὸς τὸ ὅλον ἐμποδὼν ἵσταται,
occasion being which to the whole in-the-way stands

πῶς οὐκ εὐχερεστέραν καὶ πολλῷ ῥᾳδιωτέραν μοι τοῦ
how not easier and by-much more-easy for-me of-the
πράγματος τὴν ἐπανόρθωσιν μνηστεύσει;“
affair the correction will-it-promise

69 „Μανθάνω τοίνυν ἐκεῖθεν ὑπῆρχθαι τοῦ παρόντος
I-learn therefore from-there to-have-been-begun of-the present
ζητήματος τὴν καταβολήν. ὅτε γὰρ σύ, ὦ Ἀλέξανδρε, παρὰ
question the foundation when for you O Alexander from
τῶν πρεσβυτέρων ἐζήτεις, τί δήποτε αὐτῶν ἕκαστος ὑπέρ
the presbyters you-asked what ever of-them each about
τινος τόπου τῶν ἐν τῷ νόμῳ γεγραμμένων μᾶλλον δ’
some passage of-the(-things) in the law written rather but
ὑπὲρ ματαίου τινὸς ζητήσεως μέρους ᾐσθάνετο, σύ, ὦ Ἄρειε,
about vain some of-(a)-question part perceived you O Arius
τοῦθ’, ὅπερ ἢ μήδ’ ἀρχὴν ἐνθυμηθῆναι ἢ ἐνθυμηθέντα
this which either not-even at-all to-consider or having-considered
σιωπῇ παραδοῦναι προσῆκον ἦν, ἀπροόπτως ἀντέθηκας,
to-silence to-hand-over fitting was incautiously you-answered
ὅθεν τῆς ἐν ὑμῖν διχονοίας ἐγερθείσης ἡ μὲν σύνοδος
whence of-the among you dissension having-been-roused the indeed synod
ἠρνήθη, ὁ δὲ ἁγιώτατος λαὸς εἰς ἀμφοτέρους σχισθεὶς
was-denied the and most-holy people into both having-been-split
ἐκ τῆς τοῦ κοινοῦ σώματος ἁρμονίας ἐχωρίσθη. οὐκοῦν
from the of-the common body harmony was-separated therefore
ἑκάτερος ὑμῶν, ἐξ ἴσου τὴν συγγνώμην παρασχών, ὅπερ
each of-you on equal(-terms) the pardon having-granted what
ἂν ὑμῖν ὁ συνθεράπων ὑμῶν δικαίως παραινῇ δεξάσθω.
— to-you the fellow-servant your justly exhorts let-him-receive
τί δὲ τοῦτό ἐστιν; οὔτε ἐρωτᾶν ὑπὲρ τῶν τοιούτων ἐξ
what and this is neither to-ask about the such(-things) from
ἀρχῆς προσῆκον ἦν, οὔτε ἐρωτώμενον ἀποκρίνεσθαι.
(the)-beginning fitting was nor being-asked to-answer

τὰς γὰρ τοιαύτας ζητήσεις, ὁπόσας μὴ νόμου τινὸς ἀνάγκη
the for such questions as-many-as not of-law some necessity
προστάττει ἀλλ᾽ ἀνωφελοῦς ἀργίας ἐρεσχελία προτίθησιν, εἰ
commands but of-unprofitable idleness wrangling proposes if
καὶ φιλοσοφικῆς τινος γυμνασίας ἕνεκα γίγνοιτο, ὅμως
even of-philosophical some exercise for-the-sake-of it-should-arise nevertheless
ὀφείλομεν εἴσω τῆς διανοίας ἐγκλείειν καὶ μὴ προχείρως
we-ought within the mind to-shut-in and not readily
εἰς δημοσίας συνόδους ἐκφέρειν, μηδὲ ταῖς τῶν δήμων
to public synods to-bring-out nor to-the of-the peoples
ἀκοαῖς ἀπρονοήτως πιστεύειν. πόσος γάρ ἐστιν ἕκαστος,
ears unguardedly to-entrust how-great for is each
ὡς πραγμάτων οὕτω μεγάλων καὶ λίαν δυσχερῶν δύναμιν
as of-things so great and very difficult (the)-force
ἢ πρὸς τὸ ἀκριβὲς συνιδεῖν ἢ κατ᾽ ἀξίαν ἑρμηνεῦσαι;
either to the exact to-perceive or according-to worth to-interpret
εἰ δὲ καὶ τοῦτό τις εὐχερῶς ποιεῖν νομισθείη, πόσον
if and even this anyone easily to-do should-be-thought how-great
δήπου μέρος τοῦ δήμου πείσει; ἢ τίς ταῖς τῶν τοιούτων
surely part of-the people will-be-persuade or who to-the of-the such
ζητημάτων ἀκριβείαις ἔξω τῆς ἐπικινδύνου παρολισθήσεως
questions subtleties outside the dangerous slipping
ἂν ἀντισταίη; οὐκοῦν ἐφεκτέον ἐστὶν ἐν τοῖς τοιούτοις τὴν
— could-stand therefore must-be-restrained it-is in the such(-things) the
πολυλογίαν, ἵνα μήπως, ἢ ἡμῶν ἀσθενείᾳ φύσεως τὸ
much-talking that not-somehow either of-us by-weakness of-nature the(-thing)
προταθὲν ἑρμηνεῦσαι μὴ δυνηθέντων, ἢ τῶν ἀκροατῶν
proposed to-interpret not being-able or of-the hearers
βραδυτέρᾳ συνέσει πρὸς ἀκριβῆ τοῦ ῥηθέντος
by-slower understanding to exact of-the(-thing) said

κατάληψιν ἐλθεῖν μὴ χωρησάντων, ἐξ ὁποτέρου τούτων ἢ
apprehension to-come not having-advanced from whichever of-these either
βλασφημίας ἢ σχίσματος εἰς ἀνάγκην ὁ δῆμος περισταίη."
of-blasphemy or of-schism into necessity the people might-fall
70 „Διόπερ καὶ ἐρώτησις ἀπροφύλακτος καὶ ἀπόκρισις
wherefore both question unguarded and answer
ἀπρονόητος ἴσην ἀλλήλαις ἀντιδότωσαν ἐφ' ἑκάτερα
unconsidered equal to-one-another let-them-give-in-return on both(-sides)
συγγνώμην. οὐδὲ γὰρ περὶ τοῦ κορυφαίου τῶν ἐν τῷ νόμῳ
pardon not for about the chief of-the in the law
παραγγελμάτων ὑμῖν ἡ τῆς φιλονεικίας ἐξήφθη πρόφασις,
commandments to-you the of-the contention was-kindled pretext
οὐδὲ καινή τις ὑμῖν ὑπὲρ τῆς τοῦ θεοῦ θρησκείας αἵρεσις
nor new some for-you about the — of-God worship heresy
ἀντεισήχθη, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν ἔχετε λογισμόν, ὡς
was-introduced but one and the same you-have reasoning so-that
πρὸς τὸ τῆς κοινωνίας σύνθημα δύνασθαι συνελθεῖν.
for the of-the fellowship compact to-be-able to-come-together
71 Ὑμῶν γὰρ ἐν ἀλλήλοις ὑπὲρ μικρῶν καὶ λίαν
of-you for among one-another about small(-things) and very
ἐλαχίστων φιλονεικούντων, τοσοῦτον τοῦ θεοῦ λαόν, ὃν
least contending so-great — of-God people which
ὑπὸ ταῖς ὑμετέραις χερσὶν εὐθύνεσθαι προσήκει, διχονοεῖν
under the your hands to-be-directed befits to-disagree
οὔτε πρέπον οὔθ' ὅλως θεμιτὸν εἶναι πιστεύεται. ἵνα δὲ
neither fitting nor at-all lawful to-be is-believed that and
μικρῷ παραδείγματι τὴν ὑμετέραν σύνεσιν ὑπομνήσαιμι,
by-small example the your understanding I-may-remind
ἴστε δήπου καὶ τοὺς φιλοσόφους αὐτοὺς ὡς ἑνὶ μὲν
you-know surely also the philosophers themselves that to-one indeed
ἅπαντες δόγματι συντίθενται, πολλάκις δὲ ἐπειδὰν ἔν
all doctrine agree often but when in

τινι τῶν ἀποφάσεων μέρει διαφωνῶσιν, εἰ καὶ τῇ τῆς
some of-the propositions part they-differ if even by-the of-the
ἐπιστήμης ἀρετῇ χωρίζονται, τῇ μέντοι τοῦ δόγματος
knowledge excellence they-are-separated by-the however of-the doctrine
ἑνώσει πάλιν εἰς ἀλλήλους συμπνέουσιν. εἰ δὴ τοῦτο ἔστι,
unity again into one-another they-breathe-together if indeed this is
πῶς οὐ πολλῷ δικαιότερον ἡμᾶς τοὺς τοῦ μεγάλου θεοῦ
how not by-much more-justly us the of-the great God
θεράποντας καθεστῶτας ἐν τοιαύτῃ προαιρέσει θρησκείας
servants established in such choice of-religion
ὁμοψύχους ἀλλήλοις εἶναι; ἐπισκεψώμεθα δὴ λογισμῷ
like-souled with-one-another to-be let-us-consider indeed with-reasoning
μείζονι καὶ πλείονι συνέσει τὸ ῥηθέν, εἴπερ ὀρθῶς ἔχει
greater and more understanding the said(-thing) if-indeed rightly it-holds
δι᾽ ὀλίγας καὶ ματαίας ῥημάτων ἐν ὑμῖν φιλονεικίας
because-of few and vain of-words among you contentions
ἀδελφοὺς ἀδελφοῖς ἀντικεῖσθαι καὶ τὸ τῆς συνόδου
brothers to-brothers to-be-opposed and the of-the synod
τίμιον ἀσεβεῖ διχονοίᾳ χωρίζεσθαι δι᾽ ἡμῶν, οἳ πρὸς
precious(-thing) by-impious dissension to-be-separated through us who toward
ἀλλήλους ὑπὲρ μικρῶν οὕτω καὶ μηδαμῶς ἀναγκαίων
one-another about small(-things) thus and in-no-way necessary
φιλονεικοῦμεν. δημώδη ταῦτά ἐστι καὶ παιδικαῖς ἀνοίαις
we-contend vulgar these(-things) are and to-childish follies
ἁρμόττοντα μᾶλλον ἢ τῇ τῶν ἱερέων καὶ φρονίμων
fitting rather than to-the of-the priests and prudent
ἀνδρῶν συνέσει προσήκοντα. ἀποστῶμεν ἑκόντες τῶν
men understanding belonging let-us-withdraw willingly from-the
διαβολικῶν πειρασμῶν. ὁ μέγας ἡμῶν θεός, ὁ σωτὴρ
devilish temptations the great our God the savior
ἁπάντων, κοινὸν ἅπασι τὸ φῶς ἐξέτεινεν· ὑφ᾽ οὗ τῇ
of-all common to-all the light stretched-out under whose the

προνοίᾳ ταύτην ἐμοὶ τῷ θεραπευτῇ τοῦ κρείττονος τὴν
providence this to-me the servant of-the stronger the
σπουδὴν εἰς τέλος ἐνεγκεῖν συγχωρήσατε, ὅπως αὐτοὺς
zeal to end to-bring allow that themselves
τοὺς ἐκείνου δήμους ἐμῇ προσφωνήσει καὶ ὑπηρεσίᾳ
the his peoples by-my address and ministry
καὶ νουθεσίας ἐνστάσει πρὸς τὴν τῆς συνόδου κοινωνίαν
and of-admonition by-insistence to the of-the synod fellowship
ἐπανάγαγοιμι. ἐπειδὴ γάρ, ὡς ἔφην, μία τίς ἐστιν ἐν
I-may-bring-back since for as I-said one some is among
ἡμῖν πίστις καὶ μία τῆς καθ' ἡμᾶς αἱρέσεως σύνεσις, τό
us faith and one of-the among us sect understanding the
τε τοῦ νόμου παράγγελμα τοῖς δυσὶν αὐτοῦ μέρεσιν εἰς
and of-the law commandment by-the two its parts into
μίαν ψυχῆς πρόθεσιν τὸ ὅλον συγκλείει, τοῦτο ὅπερ ὀλίγην
one of-soul purpose the whole encloses this which (a)-small
ἐν ὑμῖν ἀλλήλοις φιλονεικίαν ἤγειρεν, ἐπειδὴ μὴ πρὸς
among you one-another contention roused since not toward
τὴν τοῦ παντὸς νόμου δύναμιν ἀνήκει, χωρισμόν τινα καὶ
the of-the whole law force pertains separation any and
στάσιν ὑμῖν μηδαμῶς ἐμποιείτω. καὶ λέγω ταῦτα, οὐχ ὡς
strife in-you in-no-way let-it-produce and I-say these(-things) not as
ἀναγκάζων ὑμᾶς ἐξ ἅπαντος τῇ λίαν εὐήθει καὶ οἵα
compelling you from all(-sides) to-the very foolish and of-what-sort
δήποτέ ἐστιν ἐκείνη ἡ ζήτησις συντίθεσθαι. δύναται γὰρ
ever is that the question to-agree is-able for
καὶ τὸ τῆς συνόδου τίμιον ὑμῖν ἀκεραίως σώζεσθαι καὶ
also the of-the synod precious(-thing) for-you intact to-be-saved and
μία καὶ ἡ αὐτὴ κατὰ πάντων κοινωνία τηρεῖσθαι, κἂν τὰ
one and the same toward all fellowship to-be-kept even-if the
μάλιστά τις ἐν μέρει πρὸς ἀλλήλους ὑμῖν ὑπὲρ ἐλαχίστου
most some in part toward one-another among-you about (a)-least(-thing)

διαφωνία γένηται, ἐπειδὴ μηδὲ πάντες ἐν ἅπασι ταὐτὸν
disagreement there-be since not-even all in all(-things) the-same
βουλόμεθα, μηδὲ μία τις ἐν ἡμῖν φύσις ἢ γνώμη πολιτεύεται.
we-wish nor one some in us nature or mind lives-as-citizen
περὶ μὲν οὖν τῆς θείας προνοίας μία τις ἐν ὑμῖν ἔστω
about indeed then the divine providence one some among you let-there-be
πίστις μία σύνεσις μία συνθήκη τοῦ κρείττονος, ἃ
faith one understanding one compact of-the stronger what
δ' ὑπὲρ τῶν ἐλαχίστων τούτων ζητήσεων ἐν ἀλλήλοις
but about the least these questions among one-another
ἀκριβολογεῖσθε, κἂν μὴ πρὸς μίαν γνώμην συμφέρησθε,
you-subtilize even-if not to one mind you-agree
μένειν εἴσω λογισμοῦ προσήκει, τῷ τῆς διανοίας ἀπορρήτῳ
to-remain within reasoning befits by-the of-the mind secret
τηρούμενα. τὸ μέντοι τῆς κοινῆς φιλίας ἐξαίρετον καὶ ἡ
kept the however of-the common friendship special(-thing) and the
τῆς ἀληθείας πίστις ἥ τε περὶ τὸν θεὸν καὶ τὴν τοῦ νόμου
of-the truth faith the and about — God and the of-the law
θρησκείαν τιμὴ μενέτω παρ' ὑμῖν ἀσάλευτος· ἐπανέλθετε
worship honor let-it-remain among you unshaken return
δὴ πρὸς τὴν ἀλλήλων φιλίαν τε καὶ χάριν, ἀπόδοτε
indeed to the of-one-another friendship both and grace give-back
τῷ λαῷ ξύμπαντι τὰς οἰκείας περιπλοκάς, ὑμεῖς τε αὐτοὶ
to-the people whole the own embraces you and yourselves
καθάπερ τὰς ἑαυτῶν ψυχὰς ἐκκαθήραντες αὖθις ἀλλήλους
as the your-own souls having-cleansed again one-another
ἐπίγνωτε. ἡδίων γὰρ πολλάκις φιλία γίγνεται μετὰ τὴν
recognize sweeter for often friendship becomes after the
τῆς ἔχθρας ἀπόθεσιν αὖθις εἰς καταλλαγὴν ἐπανελθοῦσα."
of-the enmity laying-aside again into reconciliation having-returned

72 „Ἀπόδοτε οὖν μοι γαληνὰς μὲν ἡμέρας νύκτας δ’
give-back then to-me calm indeed days nights and
ἀμερίμνους, ἵνα κἀμοί τις ἡδονὴ καθαροῦ φωτὸς καὶ
untroubled that also-to-me some pleasure of-pure light and
βίου λοιπὸν ἡσύχου εὐφροσύνη σώζηται· εἰ δὲ μή, στένειν
of-life henceforth quiet gladness may-be-kept if but not to-groan
ἀνάγκη καὶ δακρύοις δι’ ὅλου συγχεῖσθαι καὶ μηδὲ τὸν
(is)-necessary and with-tears through all to-be-confounded and not-even the
τοῦ ζῆν αἰῶνα πράως ὑφίστασθαι. τῶν γάρ τοι τοῦ θεοῦ
of-the to-live age gently to-endure of-the for surely — of-God
λαῶν, τῶν συνθεραπόντων λέγω τῶν ἐμῶν, οὕτως ἀδίκῳ
peoples of-the fellow-servants I-mean the my thus by-unjust
καὶ βλαβερᾷ πρὸς ἀλλήλους φιλονεικίᾳ κεχωρισμένων, ἐμὲ
and harmful against one-another contention separated me
πῶς ἐγχωρεῖ τῷ λογισμῷ συνεστάναι λοιπόν; ἵνα δὲ
how is-it-possible in-the reasoning to-stand-firm henceforth that and
τῆς ἐπὶ τούτῳ λύπης τὴν ὑπερβολὴν αἴσθησθε, πρώην
of-the at this grief the excess you-may-perceive lately
ἐπιστὰς τῇ Νικομηδέων πόλει παραχρῆμα πρὸς τὴν ἑῴαν
having-arrived at-the of-Nicomedians city at-once to the east
ἠπειγόμην τῇ γνώμῃ. σπεύδοντι δή μοι πρὸς ὑμᾶς καὶ
I-was-hastening in-the mind hastening indeed to-me toward you and
τῷ πλείονι μέρει σὺν ὑμῖν ὄντι ἡ τοῦδε τοῦ πράγματος
with-the greater part with you being the of-this the affair
ἀγγελία πρὸς τὸ ἔμπαλιν τὸν λογισμὸν ἀνεχαίτισεν, ἵνα
news to the reverse the reasoning reined-back that
μὴ τοῖς ὀφθαλμοῖς ὁρᾶν ἀναγκασθείην ἃ μηδὲ ταῖς
not with-the eyes to-see I-might-be-compelled what not-even with-the
ἀκοαῖς προαισθέσθαι δυνατὸν ἡγούμην. ἀνοίξατε δή μοι
ears to-perceive-beforehand possible I-thought open indeed to-me
λοιπὸν ἐν τῇ καθ’ ὑμᾶς ὁμονοίᾳ τῆς ἑῴας τὴν ὁδόν,
henceforth by the among you concord of-the east the road

ἣν ταῖς πρὸς ἀλλήλους φιλονεικίαις ἀπεκλείσατε, καὶ
which by-the toward one-another contentions you-shut and
συγχωρήσατε θᾶττον ὑμᾶς τε ὁμοῦ καὶ τοὺς ἄλλους
allow sooner you both together and the others
ἅπαντας δήμους ἐπιδεῖν χαίροντα, καὶ τὴν ὑπὲρ τῆς κοινῆς
all peoples to-behold rejoicing and the for the common
ἁπάντων ὁμονοίας καὶ ἐλευθερίας ὀφειλομένην χάριν ἐπ᾽
of-all concord and freedom owed thanks with
εὐφήμοις λόγων συνθήμασιν ὁμολογῆσαι τῷ κρείττονι.“
auspicious of-words watchwords to-confess to-the stronger
Ὁ μὲν δὴ θεοφιλὴς ὧδε τὰ πρὸς εἰρήνην τῆς 73
the indeed truly God-loving(-man) thus the(-things) for peace of-the
ἐκκλησίας τοῦ θεοῦ διὰ τῆς καταπεμφθείσης προυνόει
church — of-God through the sent-down provided
γραφῆς. διηκονεῖτο δὲ οὐ τῇ γραφῇ μόνον συμπράττων
letter served and not with-the letter only cooperating
ἀλλὰ καὶ τῷ τοῦ καταπέμψαντος νεύματι καλῶς
but also with-the of-the(-one) having-sent nod honorably
κἀγαθῶς, καὶ ἦν τὰ πάντα θεοσεβὴς ἀνήρ, ὡς εἴρηται.
and-nobly and was (in)-the all(-things) (a)-godly man as has-been-said
τὸ δὲ ἦν ἄρα κρεῖττον ἢ κατὰ τὴν τοῦ γράμματος
the but was after-all stronger than according-to the of-the letter
διακονίαν, ὡς αὐξηθῆναι μὲν ἐπὶ μεῖζον τὴν τῶν
service so-that to-be-increased indeed to greater the of-the(-ones)
διαμαχομένων ἔριν, χωρῆσαι δ᾽ εἰς πάσας τὰς ἀνατολικὰς
contending strife to-advance and to all the eastern
ἐπαρχίας τοῦ κακοῦ τὴν ὁρμήν. ταῦτα μὲν οὖν φθόνος
provinces of-the evil the impulse these(-things) indeed then envy
τις καὶ πονηρὸς δαίμων τοῖς τῆς ἐκκλησίας βασκαίνων
some and wicked demon to-the of-the church envying
ἀγαθοῖς κατειργάζετο.
goods wrought

Unlike the persecutors, the emperor served God and set before his palace a painting of himself with the saving sign above his head and the dragon, the church's enemy, pierced beneath his feet. But envy troubled the churches of Alexandria, Egypt, and the Thebaid, and an older disease divided churches everywhere: a dispute over the date of the Savior's festival, some keeping the Jewish custom. When his letter to Alexandria failed, he resolved on war against the unseen enemy.

1 Ὁ μὲν δὴ μισόκαλος φθόνος ὧδέ πη τοῖς τῆς
the indeed truly hater-of-good envy thus somehow at-the of-the
ἐκκλησίας βασκαίνων καλοῖς χειμῶνας αὐτῇ καὶ ταραχὰς
church grudging goods storms for-it and disturbances
ἐμφυλίους εἰρήνης ἐν καιρῷ καὶ θυμηδίας εἰργάζετο. οὐ
civil of-peace in time and of-gladness wrought not
μὴν βασιλεὺς ὁ τῷ θεῷ φίλος τῶν αὐτῷ
however emperor the(-one) — to-God dear of-the(-things) for-him
πρεπόντων κατωλιγώρει, πάντα δὲ πράττων τἀναντία
fitting neglected all(-things) but doing the-opposite
τοῖς μικρὸν ἔμπροσθεν ὑπὸ τῆς τυραννικῆς ὠμότητος
to-the(-things) little before by the tyrannical cruelty
τετολμημένοις παντὸς ἦν ἐχθροῦ καὶ πολεμίου κρείττων.
dared than-every he-was enemy and foe stronger
αὐτίκα δ' οὖν οἱ μὲν θεοὺς τοὺς μὴ ὄντας παντοίαις
for-instance and then they indeed gods the(-ones) not being by-all-kinds-of
ἀνάγκαις ἐβιάζοντο σέβειν τοῦ ὄντος ἀφεστῶτες, ὁ
compulsions forced(-men) to-revere from-the being having-departed he
δὲ τοὺς μὴ ὄντας ὅτι μὴ εἰσὶν ἔργοις καὶ λόγοις
but the(-ones) not being that not they-are by-deeds and words
ἀπελέγχων τὸν μόνον ὄντα παρεκάλει γνωρίζειν. εἶτα
refuting the alone being(-one) exhorted to-recognize then
οἱ μὲν βλασφήμοις τὸν Χριστὸν τοῦ θεοῦ διεχλεύαζον
they indeed with-blasphemous — Christ — of-God mocked

φωναῖς, ὁ δὲ ἐφ' ᾧ μάλιστα οἱ ἄθεοι τὰς βλασφημίας
expressions he but at which most the godless the blasphemies
ἐκίνουν τοῦτ' αὐτὸ νικητικὸν ἐπεγράφετο φυλακτήριον,
stirred this very (as)-victorious inscribed safeguard
τῷ τοῦ πάθους σεμνυνόμενος τροπαίῳ. οἱ μὲν ἤλαυνον
in-the of-the passion priding-himself trophy they indeed drove-out
ἀοίκους καὶ ἀνεστίους καθιστῶντες τοὺς θεραπευτὰς τοῦ
homeless and hearthless making the servants —
θεοῦ, ὁ δὲ ἀνεκαλεῖτο τοὺς πάντας καὶ ταῖς οἰκείαις
of-God he but recalled the all and to-the own
ἀπεδίδου ἑστίαις. οἱ μὲν ἀτιμίαις περιέβαλλον, ὁ δὲ
restored hearths they indeed with-dishonors clothed he but
ἐντίμους καὶ ζηλωτοὺς καθίστη τοῖς ἅπασιν. οἱ μὲν
honored and enviable made to-the all they indeed
ἐδήμευον ἀδίκως τῶν θεοσεβῶν ἀφαρπάζοντες τοὺς βίους,
confiscated unjustly of-the godly seizing the livelihoods
ὁ δὲ ἀπεδίδου πλείστοις ἐπιδαψιλεύμενος χαρίσμασιν.
he but restored(-them) with-very-many lavishing gifts
οἱ μὲν διατάγμασιν ἐγγράφοις τὰς κατὰ τῶν προέδρων
they indeed by-edicts written the against the presidents
ἐδημοσίευον συκοφαντίας, ὁ δὲ ἔμπαλιν ἐπαίρων καὶ
published slanders he but conversely lifting and
ἀνυψῶν τῇ παρ' αὐτῷ τιμῇ τοὺς ἄνδρας προγράμμασι
exalting with-the with him honor the men by-proclamations
καὶ νόμοις διαφανεστέρους ἐποίει. οἱ μὲν ἐκ βάθρων
and laws more-distinguished made they indeed from foundations
τοὺς εὐκτηρίους οἴκους καθῄρουν, ἄνωθεν ἐξ ὕψους
the of-prayer houses pulled-down from-above from height
καταστρωννύντες εἰς ἔδαφος, ὁ δὲ τὰς οὔσας ὑψοῦσθαι
laying(-them) to ground he but the existing(-ones) to-be-raised
καὶ καινοτέρας ἀνίστασθαι μεγαλοπρεπῶς ἐξ αὐτῶν τῶν
τῶν ἐκκλησιῶν τοῦ θεοῦ τὰ πρόσφορα διαταττόμενος,
the churches — of-God the(-things) suitable ordaining
ἤδη δὲ καὶ αὐτοῖς προσεφώνει τοῖς πλήθεσιν, ἀδελφοὺς
already and also to-themselves he-addressed the multitudes brothers
ἀποκαλῶν καὶ συνθεράποντας ἑαυτοῦ τοὺς τῆς ἐκκλησίας
calling and fellow-servants of-himself the of-the church

λαοὺς ὁ τρισμακάριος. σχολῆς δ' ἂν δέοιτο ταῦτα
peoples the thrice-blessed(-one) of-leisure but — it-would-need these(-things)
ἐπ' οἰκείας ὑποθέσεως συναγαγεῖν, ὡς ἂν μὴ τὸ σῶμα
in own subject to-collect that — not the body
τῆς παρούσης ἡμῖν διακόπτοιτο ἱστορίας.
of-the present for-us should-be-cut history

XIII · THE HOLY SEPULCHER

Constantine resolved to honor the place of the resurrection in Jerusalem, which godless men had buried under earth and a shrine of Aphrodite. He had the shrine torn down and the polluted soil carried away, and beneath it the cave of the resurrection came to light. He wrote to Macarius bidding him build a basilica to surpass all others with labor and materials from the governors, and to write which marbles and columns he needed and whether the vault should be coffered and gilded. Eusebius describes the adorned cave, the colonnaded court, the great basilica with its galleries, twelve columns for the apostles, three gates, and countless offerings.

Τούτων δ' ὧδ' ἐχόντων, μνῆμα ἄλλο τι μέγιστον 25
of-these and thus being (a)-monument other some greatest
ἐπὶ τοῦ Παλαιστινῶν ἔθνους ὁ θεοφιλὴς εἰργάζετο. τί
in the of-Palestinians nation the God-loving(-man) wrought what
δ' ἦν τοῦτο; τὸν ἐν τοῖς Ἱεροσολύμοις τῆς σωτηρίου
and was this the in — Jerusalem of-the saving
ἀναστάσεως μακαριστότατον τόπον ἐδόκει δεῖν αὐτῷ
resurrection most-blessed place it-seemed (one)-must for-him
προφανῆ καὶ σεπτὸν ἀποφῆναι τοῖς πᾶσιν. αὐτίκα δ' οὖν
conspicuous and venerable to-make to-the all at-once and then
οἶκον εὐκτήριον συστήσασθαι διεκελεύετο, οὐκ ἀθεεὶ
(a)-house of-prayer to-erect he-ordered not without-God

τοῦτο ἐν διανοίᾳ βαλὼν ἀλλ᾽ ὑπ᾽ αὐτοῦ τοῦ σωτῆρος
this in mind having-cast but by the-very the savior
ἀνακινηθεὶς τῷ πνεύματι.
having-been-stirred in-the spirit

26 Ἄνδρες μὲν γάρ ποτε δυσσεβεῖς, μᾶλλον δὲ πᾶν τὸ
men indeed for once impious rather but whole the
δαιμόνων διὰ τούτων γένος, σπουδὴν ἔθεντο σκότῳ καὶ
of-demons through these race zeal made to-darkness and
λήθῃ παραδοῦναι τὸ θεσπέσιον ἐκεῖνο τῆς ἀθανασίας
to-oblivion to-hand-over the divine that of-the immortality
μνῆμα, παρ᾽ ᾧ φῶς ἐξαστράπτων ὁ καταβὰς
monument at which light flashing the having-descended
οὐρανόθεν ἄγγελος ἀπεκύλισε τὸν λίθον τῶν τὰς
from-heaven angel rolled-away the stone of-the(-ones) the
διανοίας λελιθωμένων καὶ τὸν ζῶντα μετὰ τῶν νεκρῶν ἔθ᾽
minds having-become-stone and the living with the dead still
ὑπάρχειν ὑπειληφότων, τὰς γυναῖκας εὐαγγελιζόμενος τὸν
to-be having-supposed the women evangelizing the
τε τῆς ἀπιστίας λίθον τῆς αὐτῶν διανοίας ἐπὶ δόξῃ
and of-the unbelief stone of-the their mind upon (the)-belief
τῆς τοῦ ζητουμένου ζωῆς ἀφαιρούμενος. τοῦτο μὲν
of-the of-the(-one) sought life removing this indeed
οὖν τὸ σωτήριον ἄντρον ἄθεοί τινες καὶ δυσσεβεῖς ἀφανὲς
then the saving cave godless some and impious invisible
ἐξ ἀνθρώπων ποιῆσαι διανενόηντο, ἄφρονι λογισμῷ
from men to-make had-intended with-senseless reasoning
τὴν ἀλήθειαν ταύτῃ πη κρύψαι λογισάμενοι. καὶ δὴ
the truth in-this-way somehow to-hide having-reckoned and indeed
πολὺν εἰσενεγκάμενοι μόχθον, γῆν ἔξωθέν ποθεν
much having-brought-in toil earth from-outside from-somewhere
εἰσφρήσαντες τὸν πάντα καλύπτουσι τόπον, κἄπειτα εἰς
having-carried-in the whole cover place and-then to

ὕψος αἰωρήσαντες λίθῳ τε καταστρώσαντες κάτω που
height having-raised(-it) with-stone and having-paved below somewhere
τὸ θεῖον ἄντρον ὑπὸ πολλῷ τῷ χώματι κατακρύπτουσιν. εἶθ᾽
the divine cave under much the mound they-hide then
ὡς οὐδενὸς αὐτοῖς λειπομένου, τῆς γῆς ὕπερθε δεινὸν ὡς
as nothing to-them remaining of-the earth above (a)-terrible as
ἀληθῶς ταφεῶνα ψυχῶν ἐπισκευάζουσι, σκότιον Ἀφροδίτης
truly sepulcher of-souls they-prepare (a)-dark of-Aphrodite
ἀκολάστῳ δαίμονι μυχὸν οἰκοδομησάμενοι, κἄπειτα
for-(the)-licentious demon recess having-built and-then
μυσαρὰς ἐνταυθοῖ θυσίας ἐπὶ βεβήλων καὶ ἐναγῶν βωμῶν
abominable there sacrifices on profane and accursed altars
ἐπισπένδοντες· ταύτῃ γὰρ μόνως καὶ οὐκ ἄλλως τὸ
pouring in-this-way for only and not otherwise the(-thing)
σπουδασθὲν εἰς ἔργον ἄξειν ἐνόμιζον, εἰ διὰ τοιούτων
striven-for to work to-bring they-thought if through such
ἐναγῶν μυσαγμάτων τὸ σωτήριον ἄντρον κατακρύψειαν.
accursed pollutions the saving cave they-should-hide
οὐ γὰρ οἷοί τε ἦσαν συνιέναι οἱ δείλαιοι, ὡς οὐκ εἶχεν
not for able — they-were to-understand the wretched that not it-had
φύσιν τὸν κατὰ τοῦ θανάτου βραβεῖα ἀναδησάμενον
nature the(-one) over the death prizes having-crowned-himself
κρύφιον καταλιπεῖν τὸ κατόρθωμα, οὐδὲ τὴν σύμπασαν
hidden to-leave the achievement nor the whole
τῶν ἀνθρώπων οἰκουμένην λαθεῖν λάμπων ὑπὲρ γῆς
of-the men inhabited-world to-escape-notice-of shining over earth
γενόμενος ὁ ἥλιος καὶ τὸν οἰκεῖον ἐν οὐρανῷ διιππεύων
having-come the sun and the own in heaven riding
δρόμον· τούτου γὰρ κρειττόνως ψυχὰς ἀνθρώπων ἀλλ᾽ οὐ
course than-this for more-mightily souls of-men but not
σώματα ἡ σωτήριος καταυγάζουσα δύναμις τῶν οἰκείων
bodies the saving illuminating power with-the own

τοῦ φωτὸς μαρμαρυγῶν τὸν σύμπαντα κατεπλήρου κόσμον.
of-the light gleams the whole filled world
πλὴν ἀλλὰ τῶν ἀθέων καὶ δυσσεβῶν ἀνδρῶν τὰ κατὰ τῆς
but nevertheless of-the godless and impious men the against the
ἀληθείας μηχανήματα μακροῖς παρετείνετο χρόνοις, οὐδείς
truth devices for-long extended times no-one
τε τῶν πώποτε, οὐχ ἡγουμένων, οὐ στρατηγῶν, οὐκ αὐτῶν
and of-the ever not of-governors not of-generals not of-the-very
βασιλέων, ἐπὶ καθαιρέσει τῶν τετολμημένων εὕρηται
emperors for (the)-overthrow of-the(-things) dared has-been-found
ἐπιτήδειος ἢ μόνος εἷς ὁ τῷ παμβασιλεῖ θεῷ φίλος.
fit than alone one the(-one) to-the king-of-all God dear
πνεύματι γοῦν κάτοχος θείῳ χῶρον αὐτὸν ἐκεῖνον τὸν
by-spirit at-any-rate possessed divine place itself that the
δεδηλωμένον πάσαις οὐ καθαραῖς ὕλαις ἐχθρῶν ἐπιβουλαῖς
shown with-all not pure materials of-enemies by-plots
κατακεκρύφθαι λήθῃ τε καὶ ἀγνοίᾳ παραδεδομένον οὐ
to-have-been-hidden to-oblivion both and to-ignorance handed-over not
παριδών, οὐδὲ τῇ τῶν αἰτίων παραχωρήσας κακίᾳ,
having-overlooked nor to-the of-the responsible having-yielded wickedness
θεὸν τὸν αὐτοῦ συνεργὸν ἐπικαλεσάμενος καθαίρεσθαι
God the his fellow-worker having-invoked to-be-purified
προστάττει, αὐτὴν δὴ μάλιστα τὴν ὑπὸ τῶν ἐχθρῶν
he-commands itself indeed especially the(-place) by the enemies
μεμιασμένην ἀπολαῦσαι δεῖν οἰόμενος τῆς τοῦ παναγάθου
defiled to-enjoy (one)-must thinking of-the of-the all-good(-one)
δι' αὐτοῦ μεγαλουργίας. ἅμα δὲ προστάγματι τὰ
through him great-work at-once and with-(the)-command the
τῆς ἀπάτης μηχανήματα εἰς ἔδαφος ἄνωθεν ἀφ' ὑψηλοῦ
of-the deceit devices to ground from-above from high

κατερρίπτετο, ἐλύετό τε καὶ καθῃρεῖτο αὐτοῖς ξοάνοις
were-cast-down were-dissolved both and pulled-down with-the-very images
καὶ δαίμοσι τὰ τῆς πλάνης οἰκοδομήματα.
and demons the of-the error buildings
Οὐ μὴν ἐν τούτοις τὰ τῆς σπουδῆς ἵστατο, ἀλλὰ 27
not however in these the(-things) of-the zeal stopped but
πάλιν βασιλεὺς αἴρεσθαι καὶ πορρωτάτω τῆς χώρας
again emperor to-be-lifted and farthest from-the place
ἀπορρίπτεσθαι τῶν καθαιρουμένων τὴν ἐν λίθοις καὶ
to-be-thrown-away of-the(-things) pulled-down the in stones and
ξύλοις ὕλην προστάττει. ἔργον δὲ καὶ τῷδε παρηκολούθει
wood material commands deed and also this followed
τῷ λόγῳ. ἀλλ' οὐδ' ἐπὶ τοῦτο μόνον προελθεῖν ἀπήρκει,
the word but not-even to this only to-advance sufficed
πάλιν δ' ἐπιθειάσας βασιλεὺς τοὔδαφος αὐτό,
again and having-been-divinely-inspired emperor the-ground itself
πολὺ τοῦ χώρου βάθος ἀνορύξαντας, αὐτῷ χοὶ πόρρω
much of-the place depth having-dug-up with-the-very soil far
που καὶ ἐξωτάτω λύθροις ἅτε δαιμονικοῖς ἐρρυπωμένον
somewhere and outermost with-gore as demonic polluted
ἐκφορεῖσθαι παρακελεύεται.
to-be-carried-out he-orders
Παραχρῆμα δ' ἐπετελεῖτο καὶ τοῦτο. ὡς δ' ἕτερον 28
at-once and was-accomplished also this when and other
ἀνθ' ἑτέρου στοιχεῖον ὁ κατὰ βάθους τῆς γῆς ἀνεφάνη
instead-of other element the in depth of-the earth appeared
χῶρος, αὐτὸ δὴ λοιπὸν τὸ σεμνὸν καὶ πανάγιον τῆς
place itself indeed at-last the august and all-holy of-the
σωτηρίου ἀναστάσεως μαρτύριον παρ' ἐλπίδα πᾶσαν
saving resurrection testimony contrary-to hope all
ἀνεφαίνετο, καὶ τὸ ἅγιον τῶν ἁγίων ἄντρον τὴν ὁμοίαν
appeared and the holy of-the holies cave the like

τῆς τοῦ σωτῆρος ἀναβιώσεως ἀπελάμβανεν εἰκόνα. διὸ
of-the of-the savior return-to-life took image wherefore
μετὰ τὴν ἐν σκότῳ κατάδυσιν αὖθις ἐπὶ τὸ φῶς προῄει
after the in darkness descent again to the light it-came-forth
καὶ τοῖς ἐπὶ θέαν ἀφικνουμένοις ἐναργῆ παρεῖχεν ὁρᾶν
and to-the(-ones) for sight arriving clear it-furnished to-see
τῶν αὐτόθι πεπραγμένων θαυμάτων τὴν ἱστορίαν, ἔργοις
of-the there done wonders the history by-deeds
ἁπάσης γεγωνοτέροις φωνῆς τὴν τοῦ σωτῆρος ἀνάστασιν
than-all more-loud-sounding voice the of-the savior resurrection
μαρτυρόμενον.
testifying

29 Τούτων δ' ὧδε πραχθέντων, αὐτίκα βασιλεὺς νόμων
of-these and thus done at-once emperor of-laws
εὐσεβῶν διατάξεσι χορηγίαις τε ἀφθόνοις οἶκον εὐκτήριον
pious by-ordinances by-supplies and abundant (a)-house of-prayer
θεοπρεπῆ ἀμφὶ τὸ σωτήριον ἄντρον ἐγκελεύεται πλουσίᾳ
God-befitting around the saving cave commands with-rich
καὶ βασιλικῇ δείμασθαι πολυτελείᾳ, ὡς ἂν ἐκ μακροῦ
and imperial to-build costliness as — from long
τοῦτο προτεθειμένος καὶ τὸ μέλλον ἔσεσθαι κρείττονι
this having-purposed and the future to-be by-higher
προμηθείᾳ τεθεαμένος. τοῖς μὲν δὴ τῶν ἐθνῶν ἐπὶ
providence having-beheld to-the indeed truly of-the nations in
τῆς ἑῴας ἄρχουσιν ἀφθόνοις καὶ δαψιλέσι χορηγίαις
the east governors with-abundant and plentiful supplies
ὑπερφυές τι καὶ μέγα καὶ πλούσιον ἀποδεικνύναι τὸ
extraordinary something and great and rich to-make the
ἔργον διεκελεύετο, τῷ δὲ τῆς ἐκκλησίας ἐπισκόπῳ τῷ
work he-ordered to-the and of-the church bishop the(-one)
τηνικαῦτα τῆς ἐν Ἱεροσολύμοις προεστῶτι τοιάνδε
then of-the(-church) in Jerusalem presiding such

κατέπεμπε γραφήν, δι᾽ ἧς τὸ φιλόθεον τῆς αὐτοῦ ψυχῆς
sent-down (a)-letter through which the God-loving of-the his soul
τό τε καθαρὸν τῆς εἰς τὸν σωτήριον λόγον πίστεως
the and purity of-the toward the saving word faith
ἐναργέσι φωναῖς παρίστη, τοῦτον γράφων τὸν τρόπον.
with-clear words he-presented this writing the manner
Ἐπιστολὴ βασιλέως πρὸς Μακάριον ἐπίσκοπον τῆς ἐν
letter of-emperor to Macarius bishop of-the in
Ἱεροσολύμοις ἐκκλησίας περὶ τῆς οἰκοδομῆς τοῦ μαρτυρίου.
Jerusalem church about the building of-the martyrium
„Νικητὴς Κωνσταντῖνος Μέγιστος Σεβαστὸς Μακαρίῳ. 30
Victor Constantine Greatest Augustus to-Macarius
Τοσαύτη τοῦ σωτῆρος ἡμῶν ἐστιν ἡ χάρις, ὡς μηδεμίαν
so-great of-the savior our is the grace that no
λόγων χορηγίαν τοῦ παρόντος θαύματος ἀξίαν εἶναι δοκεῖν·
of-words supply of-the present wonder worthy to-be to-seem
τὸ γὰρ γνώρισμα τοῦ ἁγιωτάτου ἐκείνου πάθους ὑπὸ τῇ
the for token of-the most-holy that passion under the
γῇ πάλαι κρυπτόμενον τοσαύταις ἐτῶν περιόδοις λαθεῖν,
earth long-ago hidden for-so-many of-years cycles to-escape-notice
ἄχρις οὗ διὰ τῆς τοῦ κοινοῦ πάντων ἐχθροῦ ἀναιρέσεως
until which through the of-the common of-all enemy destruction
ἐλευθερωθεῖσι τοῖς ἑαυτοῦ θεράπουσιν ἀναλάμπειν ἔμελλε,
having-been-freed to-the his-own servants to-shine-forth it-was-to
πᾶσαν ἔκπληξιν ὡς ἀληθῶς ὑπερβαίνει. εἰ γὰρ πάντες
all amazement as truly surpasses if for all
οἱ διὰ πάσης τῆς οἰκουμένης εἶναι δοκοῦντες σοφοὶ
the(-ones) through all the inhabited-world to-be seeming wise
εἰς ἓν καὶ τὸ αὐτὸ συνελθόντες ἄξιόν τι τοῦ
into one and the same having-come-together worthy anything of-the
πράγματος ἐθέλωσιν εἰπεῖν, οὐδ᾽ ἂν πρὸς τὸ βραχύτατον
affair should-wish to-say not-even — to the least

ἁμιλληθῆναι δυνήσονται, ἐπεὶ τοσούτῳ πᾶσαν ἀνθρωπίνου
to-compete they-will-be-able since by-so-much every of-human
λογισμοῦ χωρητικὴν φύσιν ἡ τοῦ θαύματος τούτου πίστις
reasoning capable nature the of-the wonder this faith
ὑπερβαίνει, ὅσῳ τῶν ἀνθρωπίνων τὰ οὐράνια
surpasses by-as-much-as than-the human(-things) the heavenly(-things)
συνέστηκεν δυνατώτερα. διὰ τοῦτο γοῦν οὗτος ἀεὶ
are more-powerful because-of this at-any-rate this always
καὶ πρῶτος καὶ μόνος μοι σκοπός, ἵν' ὥσπερ ἑαυτὴν
both first and only my aim that as itself
ὁσημέραι καινοτέροις θαύμασιν ἡ τῆς ἀληθείας πίστις
daily by-newer wonders the of-the truth faith
ἐπιδείκνυσιν, οὕτω καὶ αἱ ψυχαὶ πάντων ἡμῶν περὶ τὸν
shows so also the souls of-all of-us about the
ἅγιον νόμον σωφροσύνῃ πάσῃ καὶ ὁμογνώμονι προθυμίᾳ
holy law with-temperance all and like-minded eagerness
σπουδαιότεραι γίγνωνται. ὅπερ δ' οὖν πᾶσιν εἶναι νομίζω
more-earnest may-become which and then to-all to-be I-think
φανερόν, ἐκεῖνο μάλιστά σε πεπεῖσθαι βούλομαι, ὡς ἄρα
evident that especially you to-be-persuaded I-wish that after-all
πάντων μοι μᾶλλον μέλει, ὅπως τὸν ἱερὸν ἐκεῖνον
than-all to-me more it-is-a-concern how the sacred that
τόπον, ὃν θεοῦ προστάγματι αἰσχίστης εἰδώλου
place which by-God's command of-(a)-most-shameful idol's
προσθήκης ὥσπέρ τινὸς ἐπικειμένου βάρους ἐκούφισα, ἅγιον
addition as of-some lying-on weight I-relieved holy
μὲν ἐξ ἀρχῆς θεοῦ κρίσει γεγενημένον ἁγιώτερον δ'
indeed from (the)-beginning by-God's judgment having-become holier and
ἀποφανθέντα ἀφ' οὗ τὴν τοῦ σωτηρίου πάθους πίστιν
shown from when the of-the saving passion faith
εἰς φῶς προήγαγεν, οἰκοδομημάτων κάλλει κοσμήσωμεν.
into light it-brought-forth of-buildings with-beauty we-may-adorn

Προσήκει τοίνυν τὴν σὴν ἀγχίνοιαν οὕτω διατάξαι τε 31
it-befits therefore the your sagacity thus to-arrange both
καὶ ἑκάστου τῶν ἀναγκαίων ποιήσασθαι πρόνοιαν, ὡς οὐ
and of-each of-the necessary(-things) to-make provision that not
μόνον βασιλικὴν τῶν ἁπανταχοῦ βελτίονα ἀλλὰ καὶ τὰ
only (a)-basilica than-the everywhere better but also the
λοιπὰ τοιαῦτα γενέσθαι, ὡς πάντα τὰ ἐφ' ἑκάστης
remaining such to-become so-that all the(-things) in each
καλλιστεύοντα πόλεως ὑπὸ τοῦ κτίσματος τούτου νικᾶσθαι.
excelling city by the building this to-be-surpassed
καὶ περὶ μὲν τῆς τῶν τοίχων ἐγέρσεώς τε καὶ καλλιεργίας
and about indeed the of-the walls raising both and fine-work
Δρακιλιανῷ τῷ ἡμετέρῳ φίλῳ, τῷ διέποντι τὰ τῶν
to-Dracilianus the our friend the(-one) administering the of-the
ἐπάρχων μέρη, καὶ τῷ τῆς ἐπαρχίας ἄρχοντι παρ' ἡμῶν
prefects parts and to-the of-the province governor by us
ἐγκεχειρίσθαι τὴν φροντίδα γίνωσκε. κεκέλευσται γὰρ ὑπὸ
to-have-been-entrusted the care know it-has-been-ordered for by
τῆς ἐμῆς εὐσεβείας καὶ τεχνίτας καὶ ἐργάτας καὶ πάνθ',
the my piety both craftsmen and workmen and all
ὅσα περ εἰς τὴν οἰκοδομὴν ἀναγκαῖα τυγχάνειν
as-many(-things) indeed for the building necessary happen
παρὰ τῆς σῆς καταμάθοιεν ἀγχινοίας, παραχρῆμα διὰ
from the your they-may-learn sagacity at-once through
τῆς ἐκείνων προνοίας ἀποσταλῆναι. περὶ δὲ τῶν κιόνων
the their provision to-be-sent about and the columns
εἴτ' οὖν μαρμάρων, ἃ δἂν νομίσειας εἶναι τιμιώτατά
or then marbles which indeed you-may-think to-be most-precious
τε καὶ χρησιμώτατα αὐτὸς συνόψεως γενομένης πρὸς
both and most-useful you-yourself (a)-survey having-been-made to
ἡμᾶς γράψαι σπούδασον, ἵν' ὅσων δἂν καὶ ὁποίων
us to-write hasten that as-many indeed and what-sort

χρείαν εἶναι διὰ τοῦ σοῦ γράμματος ἐπιγνῶμεν, ταῦτα
need to-be through the your letter we-may-learn these(-things)
πανταχόθεν μετενεχθῆναι δυνηθῇ· τὸν γὰρ τοῦ κόσμου
from-everywhere to-be-brought may-be-possible the for of-the world
θαυμασιώτατον τόπον κατ᾽ ἀξίαν φαιδρύνεσθαι δίκαιον.
most-wonderful place according-to worth to-be-made-bright (is)-just
32 Τὴν δὲ τῆς βασιλικῆς καμάραν πότερον λακωναρίαν ἢ
the and of-the basilica vault whether coffered or
δι᾽ ἑτέρας τινὸς ἐργασίας γενέσθαι σοι δοκεῖ, παρὰ
through another some(-kind) workmanship to-be-made to-you it-seems from
σοῦ γνῶναι βούλομαι. εἰ γὰρ λακωναρία μέλλοι εἶναι,
you to-know I-wish if for coffered it-were-to be
δυνήσεται καὶ χρυσῷ καλλωπισθῆναι. τὸ λειπόμενον, ἵν᾽
it-will-be-able also with-gold to-be-adorned the remaining(-part) that
ἡ σὴ ὁσιότης τοῖς προειρημένοις δικασταῖς ᾗ τάχος
the your holiness to-the aforesaid judges as quickly
γνωρισθῆναι ποιήσῃ, ὅσων τ᾽ ἐργατῶν καὶ τεχνιτῶν καὶ
to-be-made-known may-cause how-many both workmen and craftsmen and
ἀναλωμάτων χρεία, καὶ πρὸς ἐμὲ εὐθέως ἀνενεγκεῖν
expenses (there-is)-need and to me immediately to-report
σπουδάσῃ οὐ μόνον περὶ τῶν μαρμάρων τε καὶ κιόνων,
may-hasten not only about the marbles both and columns
ἀλλὰ καὶ περὶ τῶν λακωναριῶν, εἴγε τοῦτο κάλλιον
but also about the coffers if-indeed this finer
ἐπικρίνειεν. Ὁ θεὸς σε διαφυλάξει, ἀδελφὲ ἀγαπητέ.“
it-should-judge — God you will-preserve brother beloved
33 Ταῦτα μὲν ἔγραφε βασιλεύς. ἅμα δὲ λόγῳ δι᾽
these(-things) indeed wrote emperor together and with-(the)-word through
ἔργων ἐχώρει τὰ προστεταγμένα, καὶ δὴ κατ᾽ αὐτὸ
deeds went-forward the commanded(-things) and indeed at very
τὸ σωτήριον μαρτύριον ἡ νέα κατεσκευάζετο Ἱερουσαλήμ,
the saving martyrium the new was-built Jerusalem

ἀντιπρόσωπος τῇ πάλαι βοωμένῃ ἣ μετὰ τὴν κυριοκτόνον
facing the of-old renowned which after the Lord-slaying
μιαιφονίαν ἐρημίας ἐπ᾽ ἔσχατα περιτραπεῖσα δίκην ἔτισε
bloodshed of-desolation to extremes overturned penalty paid
δυσσεβῶν οἰκητόρων. ταύτης δ᾽ οὖν ἄντικρυς βασιλεὺς
of-impious inhabitants this and then opposite emperor
τὴν κατὰ τοῦ θανάτου σωτήριον νίκην πλουσίαις καὶ
the over the death saving victory with-rich and
δαψιλέσιν ἀνύψου φιλοτιμίαις, τάχα που ταύτην οὖσαν
abundant exalted munificence perhaps somehow this being
τὴν διὰ προφητικῶν θεσπισμάτων κεκηρυγμένην καινὴν
the through prophetic oracles proclaimed new
καὶ νέαν Ἱερουσαλήμ, ἧς πέρι μακροὶ λόγοι μυρία
and fresh Jerusalem which about long words countless(-things)
δι᾽ ἐνθέου πνεύματος θεσπίζοντες ἀνυμνοῦσιν· καὶ δὴ
through (an)-inspired spirit prophesying hymn and indeed
τοῦ παντὸς ὥσπερ τινὰ κεφαλὴν πρῶτον ἁπάντων
of-the whole as a-kind-of head first of-all
τὸ ἱερὸν ἄντρον ἐκόσμει· μνῆμα δ᾽ ἦν αἰωνίου
the sacred cave he-adorned (a)-monument and it-was of-eternal
μνήμης γέμον, τοῦ μεγάλου σωτῆρος τὰ κατὰ τοῦ
memory full of-the great savior the over the
θανάτου περιέχον τρόπαια, μνῆμα θεσπέσιον, παρ᾽ ᾧ
death containing trophies (a)-monument divine at which
φῶς ἐξαστράπτων ποτὲ ἄγγελος τὴν διὰ τοῦ σωτῆρος
light flashing once (an)-angel the through the savior
ἐνδεικνυμένην παλιγγενεσίαν τοῖς πᾶσιν εὐηγγελίζετο.
shown rebirth to-the all proclaimed-as-good-news
Τοῦτο μὲν οὖν πρῶτον ὡσανεὶ τοῦ παντὸς κεφαλὴν 34
this indeed then first as-if of-the whole head
ἐξαιρέτοις κίοσι κόσμῳ τε πλείστῳ κατεποίκιλεν ἡ
with-choice columns with-adornment and most-abundant embellished the

βασιλέως φιλοτιμία, παντοίοις καλλωπίσμασι τὸ σεμνὸν
of-emperor munificence with-all-kinds-of ornaments the august
ἄντρον φαιδρύνουσα.
cave brightening

35 Διέβαινε δ' ἑξῆς ἐπὶ παμμεγέθη χῶρον εἰς καθαρὸν αἴθριον
it-passed-on and next to (a)-vast space into (a)-clear court
ἀναπεπταμένον, ὃν δὴ λίθος λαμπρὸς κατεστρωμένος
spread-open which indeed stone bright laid
ἐπ' ἐδάφους ἐκόσμει, μακροῖς περιδρόμοις στοῶν ἐκ
on (the)-ground adorned by-long circuits of-colonnades from
τριπλεύρου περιεχόμενον.
three-sides enclosed

36 Τῷ γὰρ καταντικρὺ πλευρῷ τοῦ ἄντρου, ὃ δὴ
to-the for opposite side of-the cave which indeed
πρὸς ἀνίσχοντα ἥλιον ἑώρα, ὁ βασίλειος συνῆπτο νεώς,
toward (the)-rising sun looked the royal was-joined temple
ἔργον ἐξαίσιον εἰς ὕψος ἄπειρον ἠρμένον μήκους τε
(a)-work extraordinary to (a)-height boundless raised in-length both
καὶ πλάτους ἐπὶ πλεῖστον εὐρυνόμενον· οὗ τὰ
and in-breadth to (the)-greatest(-extent) broadened of-which the
μὲν εἴσω τῆς οἰκοδομίας ὕλης μαρμάρου ποικίλης
indeed inside(-parts) of-the building of-material of-marble varied
διεκάλυπτον πλακώσεις, ἡ δ' ἐκτὸς τῶν τοίχων ὄψις
covered slabs the and outside of-the walls face
ξεστῷ λίθῳ ταῖς πρὸς ἕκαστον ἁρμογαῖς συνημμένῳ
with-polished stone with-the to each joinings fitted
λαμπρυνομένη ὑπερφυές τι χρῆμα κάλλους τῆς ἐκ
made-bright extraordinary something thing of-beauty of-the from
μαρμάρου προσόψεως οὐδὲν ἀποδέον παρεῖχεν. ἄνω δὲ
marble aspect nothing falling-short presented above and
πρὸς αὐτοῖς ὀρόφοις τὰ μὲν ἐκτὸς δώματα μολίβου
at the-very roofs the indeed outside roofs of-lead

περιέφραττεν ὕλη, ὄμβρων ἀσφαλὲς ἔρυμα χειμερίων, τὰ
fenced-around material against-rains (a)-secure defense wintry the
δὲ τῆς εἴσω στέγης γλυφαῖς φατνωμάτων ἀπηρτισμένα,
and of-the inner ceiling with-carvings of-coffers finished
ὥσπερ τι μέγα πέλαγος καθ' ὅλου τοῦ βασιλείου οἴκου
like some great sea through whole the royal house
συνεχέσι ταῖς πρὸς ἀλλήλας συμπλοκαῖς ἀνευρυνόμενα,
with-continuous the to one-another interlacings spread-wide
χρυσῷ τε διαυγεῖ δι' ὅλου κεκαλλυμμένα, φωτὸς οἷα
with-gold and translucent through whole beautified of-light as-with
μαρμαρυγαῖς τὸν πάντα νεὼν ἐξαστράπτειν ἐποίει.
flashings the whole temple to-flash made
Ἀμφὶ δ' ἑκάτερα τὰ πλευρὰ διττῶν στοῶν, ἀναγείων τε 37
on and both the sides of-double colonnades upper both
καὶ καταγείων, δίδυμοι παραστάδες τῷ μήκει τοῦ νεὼ
and lower twin aisles with-the length of-the temple
συνεξετείνοντο, χρυσῷ καὶ αὗται τοὺς ὀρόφους πεποικιλμέναι·
extended-together with-gold also these the ceilings embellished
ὧν αἱ μὲν ἐπὶ προσώπου τοῦ οἴκου κίοσι
of-which the(-ones) indeed on (the)-front of-the house on-columns
παμμεγέθεσιν ἐπηρείδοντο, αἱ δ' εἴσω τῶν ἔμπροσθεν
huge rested the(-ones) and inside of-the front(-ones)
ὑπὸ πεσσοῖς ἀνηγείροντο πολὺν τὸν ἔξωθεν περιβεβλημένοις
on piers were-raised much the outward clothed-with
κόσμον. πύλαι δὲ τρεῖς πρὸς αὐτὸν ἀνίσχοντα ἥλιον εὖ
adornment gates and three toward the-very rising sun well
διακείμεναι τὰ πλήθη τῶν εἴσω φερομένων ὑπεδέχοντο.
placed the crowds of-those inside coming received
Τούτων δ' ἀντικρὺς τὸ κεφάλαιον τοῦ παντὸς ἡμισφαίριον 38
these and opposite the chief(-part) of-the whole (a)-hemisphere
ἦν ἐπ' ἄκρου τοῦ βασιλείου τεταγμένον, ὃ δὴ
was at (the)-end of-the basilica set which indeed

δυοκαίδεκα κίονες ἐστεφάνουν, τοῖς τοῦ σωτῆρος
twelve columns crowned to-the of-the savior
ἀποστόλοις ἰσάριθμοι, κρατῆρσι μεγίστοις ἐξ ἀργύρου
apostles equal-in-number with-bowls very-great of silver
πεποιημένοις τὰς κορυφὰς κοσμούμενοι, οὓς δὴ βασιλεὺς
made the tops adorned which indeed emperor
αὐτὸς ἀνάθημα κάλλιστον ἐδωρεῖτο τῷ αὐτοῦ θεῷ.
himself (an)-offering most-beautiful gave — his to-God
39 Ἔνθεν δὲ προϊόντων ἐπὶ τὰς πρὸ τοῦ νεὼ κειμένας
from-there and (for-those)-going-forward to the before the temple lying
εἰσόδους αἴθριον διελάμβανεν ἄλλο. ἐξέδραι δ' ἦσαν ἐνταυθοῖ
entrances (a)-court intervened another exedrae and were there
παρ' ἑκάτερα, καὶ αὐλὴ πρώτη στοαὶ τ' ἐπὶ ταύτῃ,
on both(-sides) and (a)-court first colonnades and upon this
καὶ ἐπὶ πᾶσιν αἱ αὔλειοι πύλαι, μεθ' ἃς ἐπ' αὐτῆς μέσης
and upon all the court gates after which in the-very middle-of
πλατείας τὰ τοῦ παντὸς προπύλαια φιλοκάλως ἠσκημένα
(the)-street the of-the whole propylaea elegantly wrought
τοῖς τὴν ἐκτὸς πορείαν ποιουμένοις καταπληκτικὴν
to-those the outside passage making striking
παρεῖχον τὴν τῶν ἔνδον ὁρωμένων θέαν.
presented the of-the(-things) within seen view
40 Τόνδε μὲν οὖν τὸν νεὼν σωτηρίου ἀναστάσεως ἐναργὲς
this indeed then the temple of-(the)-saving resurrection (a)-clear
ἀνίστη μαρτύριον βασιλεύς, πλουσίᾳ καὶ βασιλικῇ κατασκευῇ
raised witness emperor with-rich and imperial furnishing
τὸν σύμπαντα καταφαιδρύνας, ἐκόσμει δ' αὐτὸν ἀδιηγήτοις
the whole having-brightened adorned and it with-indescribable
κάλλεσι πλείστων ὅσων ἀναθημάτων, χρυσοῦ καὶ ἀργύρου
beauties very-many as-ever of-offerings of-gold and silver
καὶ λίθων πολυτελῶν ἐν διαλλαττούσαις ὕλαις, ὧν τὴν
and stones costly in varying materials of-which the

κατὰ μέρος ἐπισκευὴν φιλοτέχνως εἰργασμένην μεγέθει τε καὶ
in detail workmanship skillfully wrought in-size both and
πλήθει καὶ ποικιλίαις οὐ σχολὴ νῦν ἐπεξιέναι τῷ λόγῳ.
number and variety not (there-is)-leisure now to-go-through in-the account

XIV · HELENA AND THE CHURCHES

He adorned the churches at the cave of the Nativity and on the Mount of the Ascension, founded by his mother Helena on her eastern journey in old age, when she gave lavishly to cities, soldiers, the poor, and prisoners. She died near eighty, her son beside her, and was buried in the imperial city. He filled his own city with martyrs' shrines but no idols, set the Good Shepherd and Daniel at its fountains and a jeweled cross in the palace, and built churches in Bithynia's chief city and Antioch. Told of idols at Abraham's oak at Mamre, he wrote to Macarius and the bishops that a count would clear them and build a basilica.

Ἀπολαβὼν δ' ἐνταυθοῖ χώρας ἑτέρας δυσὶν ἄντροις 41
having-taken and there places other by-two caves
μυστικοῖς τετιμημένας, πλουσίαις καὶ ταῦτα φιλοτιμίαις
mystic honored with-rich also these munificence
ἐκόσμει· τῷ μὲν τῆς πρώτης τοῦ σωτῆρος θεοφανείας
he-adorned to-the indeed of-the first of-the savior theophany
ἄντρῳ, ἔνθα δὴ καὶ τὰ τῆς ἐνσάρκου γενέσεως
cave where indeed also the(-things) of-the incarnate birth
ὑπέστη, τὰς καταλλήλους νέμων τιμάς, τῷ δὲ τῆς
he-underwent the fitting assigning honors to-the and of-the
εἰς οὐρανοὺς ἀναλήψεως τὴν ἐπὶ τῆς ἀκρωρείας μνήμην
into (the)-heavens ascension the on the summit memorial
σεμνύνων. καὶ ταῦτα δὲ φιλοκάλως ἐτίμα, τῆς
exalting and these(-things) and nobly he-honored of-the

αὐτοῦ μητρός, ἣ τοσοῦτον ἀγαθὸν τῷ τῶν ἀνθρώπων
his mother who so-great (a)-good to-the of-the men
διηκονήσατο βίῳ, διαιωνίζων τὴν μνήμην.
ministered life perpetuating the memory

42 Ἐπειδὴ γὰρ αὕτη τῷ παμβασιλεῖ θεῷ τὸ τῆς εὐσεβοῦς
since for she to-the king-of-all God the of-the pious
διαθέσεως ἀποδοῦναι χρέος ἔργον ἐποιήσατο, ἐφ' υἱῷ τε
disposition to-pay debt (a)-task made for son both
βασιλεῖ τοσούτῳ παισί τε αὐτοῦ καίσαρσι θεοφιλετάτοις
emperor so-great children and his caesars most-God-loving
ἑαυτῆς ἐκγόνοις τὰ χαριστήρια δεῖν ᾤετο δι' εὐχῶν
her-own descendants the thank-offerings (one)-must she-thought through prayers
ἀποπληρῶσαι, ἦκεν δὴ σπεύδουσα νεανικῶς ἡ πρέσβυς,
to-fulfill came indeed hastening youthfully the old(-woman)
ὑπερβαλλούσῃ φρονήσει τὴν ἀξιάγαστον ἀνιστορήσουσα
with-surpassing wisdom the admirable to-explore
γῆν ἔθνη τε τὰ ἑῷα καὶ δήμους ὁμοῦ καὶ λαοὺς
land nations both the eastern and peoples together and populations
βασιλικῇ προμηθείᾳ ἐποψομένη. ὡς δὲ τοῖς βήμασι τοῖς
with-imperial care to-visit when and to-the steps the
σωτηρίοις τὴν πρέπουσαν ἀπεδίδου προσκύνησιν, ἀκολούθως
saving the fitting she-rendered worship in-accordance
προφητικῷ λόγῳ, φάντι „προσκυνήσωμεν εἰς τὸν τόπον,
with-(the)-prophetic word saying let-us-worship at the place
οὗ ἔστησαν οἱ πόδες αὐτοῦ", τῆς οἰκείας εὐσεβείας
where stood the feet his of-the own piety
καρπὸν καὶ τοῖς μετέπειτα παραχρῆμα κατελίμπανεν.
fruit also to-those after at-once left

43 Αὐτίκα δ' οὖν τῷ προσκυνηθέντι θεῷ δύο νεὼς ἀφιέρου,
at-once and then to-the worshiped God two temples dedicated
τὸν μὲν πρὸς τῷ τῆς γενέσεως ἄντρῳ, τὸν δ' ἐπὶ
the(-one) indeed at the of-the birth cave the(-other) and on

τοῦ τῆς ἀναλήψεως ὄρους. καὶ γὰρ καὶ γένεσιν ὑπομεῖναι
the of-the ascension mountain and for also birth to-undergo
ὁ μεθ' ἡμῶν θεὸς δι' ἡμᾶς ἠνέσχετο, καὶ τόπος αὐτοῦ
the with us God because-of us endured and (the)-place his
τῆς ἐνσάρκου γενέσεως ὀνομαστὶ παρ' Ἑβραίοις ἡ Βηθλεὲμ
of-the incarnate birth by-name among Hebrews — Bethlehem
ἐκηρύττετο. διὸ δὴ βασιλὶς ἡ θεοσεβεστάτη τῆς
was-proclaimed therefore indeed (the)-empress the most-godly of-the
θεοτόκου τὴν κύησιν μνήμασι θαυμαστοῖς κατεκόσμει,
God-bearer the childbearing with-monuments wonderful adorned
παντοίως τὸ τῇδε ἱερὸν ἄντρον φαιδρύνουσα, βασιλεὺς δὲ
in-every-way the here sacred cave brightening emperor and
μικρὸν ὕστερον βασιλικοῖς ἀναθήμασι καὶ ταύτην ἐτίμα,
(a)-little later with-imperial offerings also this honored
τοῖς ἐξ ἀργύρου καὶ χρυσοῦ κειμηλίοις περιπετάσμασί
with-the of silver and gold treasures hangings
τε ποικίλοις τὰς τῆς μητρὸς ἐπαύξων φιλοκαλίας. πάλιν
and varied the of-the mother enhancing noble-works again
δ' ἡ μὲν βασιλέως μήτηρ τῆς εἰς οὐρανοὺς πορείας
and the indeed of-emperor mother of-the into (the)-heavens journey
τοῦ τῶν ὅλων σωτῆρος ἐπὶ τοῦ τῶν ἐλαιῶν ὄρους
of-the of-the universe savior on the of-the olives mountain
τὴν μνήμην ἐπηρμέναις οἰκοδομίαις ἀνύψου, ἄνω πρὸς
the memory with-lofty buildings exalted above at
ταῖς ἀκρωρείαις παρὰ τὴν τοῦ παντὸς ὄρους κορυφὴν
the heights beside the of-the whole mountain summit
ἱερὸν οἶκον ἐκκλησίας ἀνεγείρασα, νεών τε κἀνταῦθα
(a)-sacred house of-(the)-church having-raised temple and here-too
προσευκτήριον τῷ τὰς αὐτόθι διατριβὰς ἑλομένῳ σωτῆρι
of-prayer to-the the there sojourns having-chosen savior
συστησαμένη, ἐπεὶ κἀνταῦθα λόγος ἀληθὴς κατέχει ἐν
having-established since here-too (an)-account true holds in

αὐτῷ ἄντρῳ τοὺς αὐτοῦ θιασώτας μυεῖν τὰς ἀπορρήτους
the-very cave the his followers to-initiate into-the secret
τελετὰς τὸν τῶν ὅλων σωτῆρα. βασιλεὺς δὲ κἀνταῦθα
mysteries the of-the universe savior emperor and here-too
παντοίοις ἀναθήμασί τε καὶ κόσμοις τὸν μέγαν ἐγέραιρε
with-all-kinds-of offerings both and ornaments the great honored
βασιλέα. καὶ δὴ δύο ταῦτα μνήμης ἐπάξια αἰωνίου σεμνὰ
king and indeed two these of-memory worthy eternal august
καὶ περικαλλῆ καθιερώματα ἐπὶ δύο μυστικῶν ἄντρων
and very-beautiful consecrations over two mystic caves
Ἑλένη αὐγούστα θεῷ τῷ αὐτῆς σωτῆρι, θεοφιλοῦς
Helena augusta to-God the her savior of-(a)-God-loving
βασιλέως θεοφιλὴς μήτηρ, εὐσεβοῦς τεκμήρια διαθέσεως
emperor (the)-God-loving mother of-pious tokens disposition
ἵδρυτο, δεξιὰν αὐτῇ βασιλικῆς ἐξουσίας τοῦ παιδὸς
had-founded (the)-right-hand to-her of-imperial authority the son
παρασχομένου. καρπὸν δ' ἐπάξιον ἡ πρέσβυς οὐκ εἰς
having-offered fruit and worthy the old(-woman) not after
μακρὸν ἀπελάμβανεν, ἀγαθοῖς μὲν ἅπασι τὸν πάντα τῆς
long received among-goods indeed all the whole of-the
ζωῆς χρόνον ἐπ' αὐτῷ γήραος οὐδῷ διαπεραναμένη, λόγοις
life time at the-very of-old-age threshold having-passed with-words
δὲ καὶ ἔργοις τῶν σωτηρίων παραγγελμάτων εὐθαλεῖς
but and deeds of-the saving precepts flourishing
παρασχομένη βλαστούς, κἄπειτα οὕτω βίον εὐσταλῆ καὶ
having-put-forth shoots and-then thus (a)-life well-ordered and
ἄλυπον σώματος ὁμοῦ καὶ ψυχῆς ἐν ἐρρωμένῳ φρονήματι
painless of-body together and soul in (a)-vigorous mind
διανύσασα, ἐφ' οἷς καὶ τέλος εὐσεβείας ἐπάξιον ἀγαθήν
having-completed for which also (an)-end of-piety worthy (a)-good
τε παρὰ θεοῦ ἀμοιβὴν κἀπὶ τοῦ παρόντος εὕρατο βίου.
and from God reward and-in the present she-found life

Τὴν γάρ τοι σύμπασαν ἑῴαν μεγαλοπρεπείᾳ βασιλικῆς 44
the for surely whole east with-magnificence of-imperial
ἐξουσίας ἐμπεριελθοῦσα, μυρία μὲν ἀθρόως τοῖς
authority having-gone-round countless(-things) indeed all-at-once to-the
κατὰ πόλιν ἐδωρεῖτο δήμοις ἰδίᾳ τε τῶν προσιόντων
by city she-gave peoples privately and of-those approaching
ἑκάστῳ, μυρία δὲ καὶ τοῖς στρατιωτικοῖς τάγμασι
to-each countless(-things) and also to-the military ranks
δεξιᾷ μεγαλοπρεπεῖ διένεμεν, πλεῖστά θ' ὅσα πένησι
with-(a)-hand magnificent she-distributed most and as-many to-poor
γυμνοῖς καὶ ἀπεριστάτοις ἐδίδου, τοῖς μὲν χρημάτων
naked and helpless she-gave to-some indeed of-money
δόσεις ποιουμένη τοῖς δὲ τὰ πρὸς τὴν τοῦ σώματος
gifts making to-others and the(-things) for the of-the body
σκέπην δαψιλῶς ἐπαρκοῦσα, ἑτέρους δ' ἀπήλλαττε δεσμῶν
covering abundantly supplying others and she-freed from-bonds
μετάλλων τε κακοπαθείᾳ ταλαιπωρουμένους, ἠλευθέρου τε
of-mines and by-hardship distressed she-set-free and
πλεονεκτουμένους, καὶ πάλιν ἄλλους ἐξορίας ἀνεκαλεῖτο.
(the)-defrauded and again others from-exile recalled
Τοιούτοις δῆτα λαμπρυνομένη οὐδὲ τῆς ἄλλης πρὸς 45
with-such(-things) indeed made-illustrious nor the other toward
τὸν θεὸν ὁσίας κατωλιγώρει, φοιτῶσαν μὲν αὐτὴν ἐν
— God holiness she-neglected going indeed herself to
τῇ ἐκκλησίᾳ τοῦ θεοῦ διὰ παντὸς ὁρᾶσθαι παρέχουσα,
the church — of-God through all(-time) to-be-seen granting
λαμπροῖς δὲ κατακοσμοῦσα κειμηλίοις τοὺς εὐκτηρίους οἴκους
with-splendid and adorning treasures the of-prayer houses
μηδὲ τοὺς ἐν ταῖς βραχυτάταις πόλεσι παρορῶσα ναούς.
not-even the in the smallest cities overlooking shrines
ἦν γοῦν ὁρᾶν τὴν θαυμασίαν ἐν σεμνῇ καὶ εὐσταλεῖ
it-was at-any-rate to-see the wonderful(-woman) in (a)-modest and orderly

περιβολῇ τῷ πλήθει συναγελαζομένην τήν τε πρὸς τὸ θεῖον
dress with-the multitude mingling the and toward the divine
εὐλάβειαν διὰ πάσης θεοφιλοῦς πράξεως ἐπιδεικνυμένην.
reverence through every God-loving act displaying
46 Ἐπεὶ δὲ λοιπὸν τὰ τῆς αὐτάρκους διανύσασα ζωῆς
when and finally the(-things) of-the sufficient having-completed life
ἐπὶ τὴν κρείττονα λῆξιν ἐκαλεῖτο, σχεδόν που τῆς
to the better lot she-was-called nearly somewhere of-the
ἡλικίας ἀμφὶ τοὺς ὀγδοήκοντα ἐνιαυτοὺς διαρκέσασα, πρὸς
age about the eighty years having-lasted at
αὐτῷ γενομένη τῷ τέλει συνετάττετο καὶ διετίθετο, ἐπὶ
the-very being the end she-made-arrangements and made-her-will for
μονογενεῖ υἱῷ βασιλεῖ μονάρχῳ κοσμοκράτορι παισί τε
(her)-only-begotten son emperor monarch world-ruler children and
τούτου καίσαρσιν, ἑαυτῆς ἐκγόνοις, τὴν ὑστάτην βουλὴν
his caesars her-own descendants the last will
διοριζομένη, διανέμουσά τε τῶν ἐκγόνων ἑκάστῳ τῆς
determining distributing and of-the descendants to-each of-the
οἰκείας ὑπάρξεως, ὅση τις αὐτῇ καθ' ὅλης ὑπῆρξε
own property as-much-as any to-her throughout whole belonged
τῆς οἰκουμένης. καὶ δὴ τοῦτον διαθεμένη τὸν τρόπον,
the world and indeed this having-disposed the manner
λοιπὸν τὴν τοῦ βίου κατέλυε τελευτήν, παρόντος αὐτῇ καὶ
finally the of-the life she-closed end being-present to-her and
παρεστῶτος υἱοῦ τοσούτου θεραπεύοντός τε καὶ τῶν χειρῶν
standing-by son so-great tending both and the hands
ἐφαπτομένου, ὡς μὴ τεθνάναι εἰκότως τὴν τρισμακαρίαν
holding so-that not to-have-died reasonably the thrice-blessed(-woman)
τοῖς εὖ φρονοῦσι δοκεῖν, μεταβολὴν δὲ καὶ μετάθεσιν ἀληθεῖ
to-those well thinking to-seem (a)-change but and (a)-removal in-true
λόγῳ τῆς γεώδους ζωῆς ἐπὶ τὴν οὐράνιον ὑπομεῖναι.
word from-the earthly life to the heavenly to-have-undergone

ἀνεστοιχειοῦτο γοῦν αὐτῇ ψυχῇ ἐπὶ τὴν ἄφθαρτον καὶ
was-transformed at-any-rate the-very soul into the incorruptible and
ἀγγελικὴν οὐσίαν, πρὸς τὸν αὐτῆς ἀναλαμβανομένη σωτῆρα.
angelic substance to the her being-taken-up savior
Καὶ τὸ σκῆνος δὲ τῆς μακαρίας οὐ τῆς τυχούσης 47
and the tabernacle too of-the blessed(-woman) not of-the ordinary
ἠξιοῦτο σπουδῆς· πλείστη γοῦν δορυφορίᾳ
was-deemed-worthy care with-(a)-very-great at-any-rate escort
τιμώμενον ἐπὶ τὴν βασιλεύουσαν πόλιν ἀνεκομίζετο,
honored to the reigning city was-carried-up
ἐνταυθοῖ τε ἠρίοις βασιλικοῖς ἀπετίθετο. ὧδε μὲν οὖν
there and in-tombs imperial was-laid thus indeed then
ἡ βασιλέως ἐτελειοῦτο μήτηρ, ἀξία γε μνήμης ἀλήστου
the of-emperor died mother worthy at-least of-memory unforgettable
τῶν τε αὐτῆς εἵνεκα θεοφιλῶν πράξεων τοῦ τ᾽ ἐξ αὐτῆς
the both her because-of God-loving deeds of-the and from her
φύντος ὑπερφυοῦς καὶ παραδόξου φυτοῦ, ὃν πρὸς τοῖς
sprung extraordinary and marvelous plant whom besides the
ἅπασι καὶ τῆς εἰς τὴν γειναμένην ὁσίας μακαρίζειν
all also for-the toward the (one)-who-bore(-him) piety to-call-blessed
ἄξιον, οὕτω μὲν αὐτὴν θεοσεβῆ καταστήσαντα οὐκ
(it-is)-worthy so indeed her godly having-made not
οὖσαν πρότερον, ὡς αὐτῷ δοκεῖν ἐκ πρώτης τῷ κοινῷ
being before that to-him to-seem from (the)-first to-the common
σωτῆρι μεμαθητεῦσθαι, οὕτω δὲ ἀξιώματι βασιλικῷ
savior to-have-been-a-disciple so and with-dignity imperial
τετιμηκότα, ὡς ἐν ἅπασιν ἔθνεσι παρ᾽ αὐτοῖς τε τοῖς
having-honored that in all nations among the-very and the
στρατιωτικοῖς τάγμασιν αὐγούσταν βασιλίδα ἀναγορεύεσθαι,
military ranks augusta empress to-be-proclaimed
χρυσοῖς τε νομίσμασι καὶ τὴν αὐτῆς ἐκτυποῦσθαι εἰκόνα.
on-gold and coins also the her to-be-stamped image

ἤδη δὲ καὶ βασιλικῶν θησαυρῶν παρεῖχε τὴν ἐξουσίαν, ὡς
already and also of-imperial treasuries he-granted the authority so-as
χρῆσθαι κατὰ προαίρεσιν καὶ διοικεῖν κατὰ γνώμην,
to-use according-to choice and to-dispose according-to judgment
ὅπως ἂν ἐθέλοι καὶ ὡς ἂν εὖ ἔχειν αὐτῇ νομίζοιτο
however — she-might-wish and as — well to-be to-her it-might-be-thought
ἕκαστα, τοῦ παιδὸς αὐτὴν κἀν τούτοις διαπρεπῆ καὶ
each(-thing) the son her and-in these(-things) distinguished and
ἀξιοζήλωτον πεποιημένου. διὸ τῶν εἰς αὐτοῦ μνήμην
enviable having-made therefore of-the(-things) to his memory
ἀναφερομένων καὶ ταῦτα εἰκότως ἡμῖν ἀνείληπται,
referred also these(-things) reasonably by-us have-been-taken-up
ἃ δι᾽ εὐσεβείας ὑπερβολὴν μητέρα τιμῶν θεσμοὺς
which because-of of-piety excess (his)-mother honoring ordinances
ἀπεπλήρου θείους ἀμφὶ γονέων τιμῆς τὰ πρέποντα
he-fulfilled divine about of-parents honor the(-things) fitting
διαταττομένους. τὰς μὲν οὖν λεχθείσας φιλοκαλίας βασιλεὺς
enjoining the indeed then mentioned noble-works emperor
πρὸς τῷ Παλαιστινῶν ἔθνει τόνδε συνίστη τὸν τρόπον,
in the of-(the)-Palestinians nation this established the manner
καὶ κατὰ πάσας δὲ τὰς ἐπαρχίας νεοπαγεῖς ἐκκλησίας
and throughout all and the provinces newly-built churches
ἐπισκευάζων μακρῷ τῶν προτέρων τιμιωτέρας ἀπέφαινεν.
constructing by-far than-the earlier more-honored he-rendered
48 Τὴν δέ γ᾽ ἐπώνυμον αὐτοῦ πόλιν ἐξόχῳ τιμῇ
the and at-least named-after him city with-pre-eminent honor
γεραίρων εὐκτηρίοις πλείοσιν ἐφαίδρυνεν μαρτυρίοις τε
honoring with-oratories more he-brightened with-martyria both
μεγίστοις καὶ περικαλλεστάτοις οἴκοις, τοῖς μὲν πρὸ
greatest and most-beautiful houses the(-ones) indeed before
τοῦ ἄστεως τοῖς δ᾽ ἐν αὐτῷ τυγχάνουσι, δι᾽ ὧν
the town the(-ones) and in it being through which

ὁμοῦ καὶ τὰς τῶν μαρτύρων μνήμας ἐτίμα καὶ τὴν
together both the of-the martyrs memories he-honored and the
αὐτοῦ πόλιν τῷ τῶν μαρτύρων καθιέρου θεῷ. ὅλως δ'
his city to-the of-the martyrs consecrated God wholly and
ἐμπνέων θεοῦ σοφίας, ἣν τῆς ἐπηγορίας τῆς αὐτοῦ πόλιν
breathing of-God wisdom which of-the name the his city
ἐπώνυμον ἀποφῆναι ἔκρινε, καθαρεύειν εἰδωλολατρείας
named to-render he-decided to-be-pure of-idolatry
ἁπάσης ἐδικαίου, ὡς μηδαμοῦ φαίνεσθαι ἐν αὐτῇ τῶν
all he-deemed-right so-that nowhere to-appear in it of-the
δὴ νομιζομένων θεῶν ἀγάλματα ἐν ἱεροῖς θρησκευόμενα,
indeed supposed gods statues in temples worshiped
ἀλλ' οὐδὲ βωμοὺς λύθροις αἱμάτων μιαινομένους, οὐ
but not-even altars with-gore of-blood defiled not
θυσίας ὁλοκαυτουμένας πυρί, οὐ δαιμονικὰς ἑορτάς, οὐδ'
sacrifices wholly-burned with-fire not demonic festivals nor
ἕτερόν τι τῶν συνήθων τοῖς δεισιδαίμοσιν.
other anything of-the(-things) customary to-the superstitious
Εἶδες δ' ἂν ἐπὶ μέσον ἀγορῶν κειμέναις κρήναις τὰ 49
you-saw and — at (the)-middle of-markets set on-fountains the
τοῦ καλοῦ ποιμένος σύμβολα, τοῖς ἀπὸ τῶν θείων λογίων
of-the good shepherd symbols to-those from the divine oracles
ὁρμωμένοις γνώριμα, τόν τε Δανιὴλ σὺν αὐτοῖς λέουσιν
starting familiar — and Daniel with the-very lions
ἐν χαλκῷ πεπλασμένον χρυσοῦ τε πετάλοις ἐκλάμποντα.
in bronze molded of-gold and with-leaves shining
τοσοῦτος δὲ θεῖος ἔρως τὴν βασιλέως κατειλήφει ψυχήν, ὡς
so-great and divine love the of-emperor had-seized soul that
ἐν αὐτοῖς τοῖς ἀνακτόροις τῶν βασιλείων, κατὰ τὸν πάντων
in the-very the halls of-the palace in the of-all
ἐξοχώτατον οἶκον τῆς πρὸς τῷ ὀρόφῳ κεχρυσωμένης
most-eminent house of-the at the roof gilded

φατνώσεως κατὰ τὸ μεσαίτατον, μεγίστου πίνακος
paneling at the very-middle of-(a)-very-great panel
ἀνηπλωμένου μέσον ἐμπεπῆχθαι τὸ τοῦ σωτηρίου
spread-out in-the-middle to-have-been-fixed the of-the saving
πάθους σύμβολον ἐκ ποικίλων συγκείμενον καὶ πολυτελῶν
passion symbol of varied composed and costly
λίθων ἐν χρυσῷ πολλῷ κατειργασμένων. φυλακτήριον δὲ
stones in gold much wrought (a)-safeguard and
ἐδόκει τοῦτο αὐτῆς βασιλείας τῷ θεοφιλεῖ πεποιῆσθαι.
seemed this of-the-very empire by-the God-loving(-man) to-have-been-made
50 Τούτοις μὲν οὖν τὴν αὐτοῦ πόλιν ἐκαλλώπιζε. τὴν δὲ
with-these indeed then the his city he-beautified the and
Βιθυνῶν ἄρχουσαν ὁμοίως ἀναθήματι μεγίστης
of-(the)-Bithynians ruling(-city) likewise with-(the)-offering of-(a)-very-great
καὶ ὑπερφυοῦς ἐκκλησίας ἐτίμα, ἐξ οἰκείων θησαυρῶν
and extraordinary church honored from (his)-own treasuries
κἀνταῦθα τῷ αὐτοῦ σωτῆρι τὰ κατ᾽ ἐχθρῶν καὶ θεομάχων
here-too to-the his savior the over enemies and God-fighters
ἀνυψῶν νικητήρια. καὶ τῶν λοιπῶν δ᾽ ἐθνῶν τὰς
raising victory-monuments and of-the remaining and nations the
μάλιστα κρατιστευούσας πόλεις ταῖς τῶν εὐκτηρίων
most excelling cities with-the of-the oratories
φιλοκαλίαις ἐκπρέπειν ἐποίει, ὥσπερ οὖν καὶ ἐπὶ
splendors to-be-distinguished made as then also in-the-case-of
τῆς ἀνατολικῆς μητροπόλεως, ἣ τὴν ἐπώνυμον εἴληχεν
the eastern metropolis which the eponymous has-obtained
Ἀντιόχου προσηγορίαν· ἐφ᾽ ἧς ὡς ἐπὶ κεφαλῆς τῶν
of-Antiochus name in which as upon (the)-head of-the
τῇδε ἐθνῶν μονογενές τι χρῆμα ἐκκλησίας μεγέθους
here nations unique some thing of-church of-size
ἕνεκα καὶ κάλλους ἀφιέρου, μακροῖς μὲν ἔξωθεν
for-the-sake and beauty he-dedicated with-long indeed outside

περιβόλοις τὸν πάντα νεὼν περιλαβών, εἴσω δὲ τὸν
enclosures the whole temple having-surrounded inside and the
εὐκτήριον οἶκον εἰς ἀμήχανον ἐπάρας ὕψος, ἐν ὀκταέδρου
of-prayer house to (an)-immense having-raised height in of-(an)-octagon
μὲν συνεστῶτα σχήματι, κύκλῳ δὲ ὑπερῴων τε καὶ
indeed constructed shape in-(a)-circle and of-upper both and
καταγείων χωρημάτων ἁπανταχόθεν περιεστοιχισμένον,
lower chambers on-all-sides surrounded
ὃν καὶ χρυσοῦ πλείονος ἀφθονίᾳ χαλκοῦ τε καὶ τῆς
which also of-gold much with-abundance of-bronze both and of-the
λοιπῆς πολυτελοῦς ὕλης ἐστεφάνου κάλλεσιν.
remaining costly material he-crowned with-beauties
Τάδε μὲν οὖν τὰ ἐξοχώτατα βασιλέως ἐτύγχανεν 51
these indeed then the most-eminent of-emperor were
ἀφιερώματα. πυθόμενος δέ τοι ἕνα καὶ τὸν αὐτὸν σωτῆρα
dedications having-learned and surely one and the same savior
τόν ἔναγχος ἐπιφανέντα τῷ βίῳ καὶ πρόπαλαι θεοφανείας
the lately having-appeared to-the world also long-ago theophanies
πεποιῆσθαι φιλοθέοις ἀνδράσιν τῆς Παλαιστίνης ἀμφὶ
to-have-made to-God-loving men — of-Palestine near
τὴν καλουμένην δρῦν Μαμβρῆ, κἀνταῦθα οἶκον εὐκτήριον
the called oak Mamre here-too (a)-house of-prayer
ἀνεγεῖραι τῷ ὀφθέντι θεῷ διακελεύεται. τοῖς μὲν οὖν
to-raise to-the having-been-seen God he-orders to-the indeed then
τῶν ἐθνῶν ἄρχουσιν αὐθεντία βασιλικὴ διὰ τῶν πρὸς
of-the nations governors (the)-authority imperial through the to
ἕκαστον ἐπισταλθέντων γραμμάτων ἐπεφοίτα, εἰς πέρας
each sent letters came to (an)-end
ἀγαγεῖν τὸ προσταχθὲν διακελευομένη, ἡμῖν δὲ τοῖς τήνδε
to-bring the commanded(-thing) ordering to-us and the(-ones) this
γράφουσι τὴν ἱστορίαν λογικωτέραν κατέπεμπε διδασκαλίαν,
writing the history more-reasoned he-sent-down instruction

ἧς ἔμοιγε δοκεῖ τὸ ἴσον γράμμα τῷ παρόντι συνάψαι
of-which to-me-at-least it-seems the copy letter to-the present to-join
λόγῳ εἰς ἀκριβῆ διάγνωσιν τῆς τοῦ θεοφιλοῦς ἐπιμελείας.
account for (an)-exact understanding of-the of-the God-loving(-man) care
καταμεμψάμενος γοῦν ἡμῖν ἐφ' οἷς ἐπύθετο
having-rebuked at-any-rate us for the(-things)-which he-learned
πραττομένοις αὐτόθι τάδε κατὰ λέξιν ἔγραφε.
being-done there these(-things) according-to word he-wrote

52 Βασιλέως ἐπιστολὴ περὶ τοῦ κατὰ τὴν δρῦν τὴν
of-emperor letter about the at the oak the
καλουμένην Μαμβρῆ τόπου. „Νικητὴς Κωνσταντῖνος
called Mamre place Victor Constantine
Μέγιστος Σεβαστὸς Μακαρίῳ καὶ λοιποῖς ἐπισκόποις
Greatest Augustus to-Macarius and (the)-other bishops
Παλαιστίνης. Ἓν καὶ τοῦτο μέγιστον τῆς ὁσιωτάτης μου
of-Palestine one also this greatest of-the most-holy my
κηδεστρίας γέγονεν εἰς ἡμᾶς εὐεργέτημα τὸ λανθάνουσαν
mother-in-law has-been toward us benefaction the escaping-notice
μέχρι νῦν παρ' ὑμῖν ἐναγῶν ἀνθρώπων ἀπόνοιαν διὰ τῶν
until now among you of-accursed men madness through the
πρὸς ἡμᾶς γνωρίσαι γραμμάτων, ὡς τῆς πρεπούσης
to us to-make-known letters so-that of-the fitting
ἐπανορθώσεως καὶ θεραπείας εἰ καὶ βραδέως ἀλλ' ὅμως
correction and remedy if even slowly yet nevertheless
ἀναγκαίως δι' ἡμῶν τὸ παροφθὲν ἁμάρτημα τυχεῖν.
necessarily through us the overlooked sin to-obtain
καὶ γάρ ἐστιν ὡς ἀληθῶς δυσσέβημα παμμέγεθες τοὺς
and for it-is as truly (an)-impiety enormous the
ἁγίους τόπους ὑπὸ τῶν ἀνοσίων χραίνεσθαι μιασμάτων.
holy places by the unholy to-be-stained pollutions
τί οὖν ἐστιν, ἀδελφοὶ προσφιλέστατοι, ὃ τὴν ὑμετέραν
what then is-it brothers dearest which the your

παρελθὸν ἀγχίνοιαν ἡ προειρημένη διὰ τὴν πρὸς τὸ
having-escaped sagacity the aforesaid(-lady) because-of the toward the
θεῖον εὐλάβειαν οὐχ οἵα τε γέγονεν ἀποσιωπῆσαι;
divine reverence not able — has-been to-pass-over-in-silence
Τὸ χωρίον, ὅπερ παρὰ τὴν δρῦν τὴν Μαμβρῆ 53
the place which by the oak — Mamre
προσαγορεύεται, ἐν ᾧ τὸν Ἀβραὰμ τὴν ἑστίαν ἐσχηκέναι
is-called in which — Abraham the hearth to-have-had
μανθάνομεν, παντοίως ὑπό τινων δεισιδαιμόνων μιαίνεσθαί
we-learn in-every-way by some superstitious(-men) to-be-defiled
φησιν· εἴδωλά τε γὰρ πάσης ἐξωλείας ἄξια παρ' αὐτὴν
she-says idols both for of-all destruction worthy beside it
ἱδρῦσθαι καὶ βωμὸν ἐδήλωσεν πλησίον ἑστάναι καὶ
to-have-been-set-up and (an)-altar she-showed near to-stand and
θυσίας ἀκαθάρτους συνεχῶς ἐπιτελεῖσθαι. ὅθεν ἐπειδὴ
sacrifices unclean continually to-be-performed whence since
καὶ τῶν καιρῶν τῶν ἡμετέρων ἀλλότριον καὶ τῆς τοῦ
both the times the our alien and of-the of-the
τόπου ἁγιότητος ἀνάξιον καταφαίνεται, γινώσκειν ὑμῶν
place holiness unworthy it-appears to-know your
τὴν σεμνότητα βούλομαι δεδηλῶσθαι παρ' ἡμῶν πρὸς
the reverence I-wish to-have-been-shown by us to
Ἀκάκιον τὸν διασημότατον κόμητα καὶ φίλον ἡμέτερον
Acacius the most-distinguished count and friend our
γράμματι, ἵν' ἄνευ τινὸς ὑπερθέσεως καὶ τὰ εἴδωλα
by-letter that without any delay both the idols
ὅσα δἄν ἐπὶ τοῦ προειρημένου εὑρίσκοιτο τόπου
as-many-as — on the aforesaid might-be-found place
πυρὶ παραδοθῇ, καὶ ὁ βωμὸς ἐκ βάθρων ἀνατραπῇ,
to-fire be-handed-over and the altar from (the)-foundations be-overturned
καὶ ἁπλῶς εἰπεῖν, πάντων τῶν τοιούτων ἐκεῖθεν ἄρδην
and simply to-say all the such(-things) thence utterly

ἀφανισθέντων, παντὶ σθένει καὶ τρόπῳ τὸ περιέχον
having-been-removed with-all strength and means the surrounding(-area)
ὅλον ἐκκαθᾶραι σπουδάσῃ, καὶ μετὰ ταῦτα, καθὼς ἂν
whole to-cleanse be-may-hasten and after these(-things) as —
αὐτοὶ διατυπώσητε, ἀξίαν τῆς καθολικῆς καὶ ἀποστολικῆς
yourselves you-may-design worthy of-the catholic and apostolic
ἐκκλησίας βασιλικὴν ἀνοικοδομηθῆναι ἐπὶ τοῦ αὐτοῦ
church (a)-basilica to-be-built on the same
ποιήσῃ χωρίου. λοιπὸν ἔσται τῆς ὑμετέρας συνέσεως
be-may-cause place henceforth will-be of-the your understanding
τε καὶ εὐλαβείας, ἐπειδὰν πάντα ἐκεῖθεν τὰ μυσαρὰ
both and reverence when all(-things) thence the abominable(-things)
παντελῶς ἀνῃρῆσθαι μάθητε, εἰς ταὐτὸ συνελθεῖν
completely to-have-been-removed you-learn into the-same(-place) to-come-together
ἅμα τοῖς ἐκ Φοινίκης ἐπισκόποις, οὓς προσκαλέσασθαι
together with-the from Phoenicia bishops whom to-summon
ἐξ αὐθεντίας τοῦ γράμματος τούτου δυνήσεσθε, καὶ
by (the)-authority of-the letter this you-will-be-able and
διαγράψαι βασιλικὴν τῆς ἐμῆς φιλοτιμίας ἀξίαν, ὅπως
to-design (a)-basilica of-the my munificence worthy that
τοῖς προσταχθεῖσιν ἀκολούθως μετὰ πάσης ταχυτῆτος ἡ
to-the commanded(-things) in-accordance with all speed the
τοῦ ἔργου φαιδρότης κατ᾽ ἀξίαν τῆς τοῦ τόπου
of-the work splendor in-accordance-with (the)-worth of-the of-the place
ἀρχαιότητός τε καὶ σεμνότητος προνοίᾳ τοῦ προειρημένου
antiquity both and sanctity by-(the)-care of-the aforesaid
ἡμῶν κόμητος τελεσιουργηθῆναι δυνηθῇ. ἐκεῖνο δὲ πρό
our count to-be-completed may-be-able that and before
γε ἁπάντων παραφυλάξαι ὑμᾶς βούλομαι, ὥπως μηδεὶς
at-least all(-things) to-watch-for you I-wish that no-one
πρὸς τοὐπιὸν τῶν ἐναγῶν ἐκείνων καὶ μυσαρῶν ἀνθρώπων
for the-future of-the accursed those and abominable men

τῷ τόπῳ πλησιάσαι τολμήσῃ· ἔστι γὰρ ὡς ἀληθῶς ἡμῖν
to-the place to-approach may-dare it-is for as truly to-us
ἀφόρητον καὶ πᾶσι τοῖς τολμῶσι τιμωρίας ἄξιον μετὰ
intolerable and for-all the(-ones) daring of-punishment deserving after
τὴν ἡμετέραν κέλευσιν ἀσεβές τι ἐν τῷ τοιούτῳ τόπῳ
the our command impious anything in the such place
πραχθῆναι, ὃν καθαρῷ βασιλικῆς οἰκοδομήματι κοσμεῖσθαι
to-be-done which with-(a)-pure of-(a)-basilica building to-be-adorned
διετάξαμεν, ὅπως ἁγίων ἀνθρώπων ἄξιον συνέδριον
we-ordered that of-holy men worthy (a)-meeting-place
ἀποδειχθῇ. εἰ δέ τι παρὰ τὸ προσταχθὲν γενέσθαι
it-may-be-made if and anything contrary-to the commanded(-thing) to-happen
συμβαίη, χωρίς τινος μελλήσεως τῇ ἡμετέρᾳ ἡμερότητι
should-chance without any delay to-the our clemency
δι᾽ ὑμετέρων δηλαδὴ γραμμάτων γνωρισθῆναι πρέπει,
through your clearly letters to-be-made-known it-is-fitting
ἵνα τὸν ἁλισκόμενον ὡς παρανομήσαντα τὴν ἀνωτάτω
that the(-one) caught as having-broken-the-law the uttermost
κόλασιν ὑποστῆναι προστάξωμεν. οὐ γὰρ ἀγνοεῖτε ἐκεῖ
punishment to-undergo we-may-order not for you-are-ignorant there
πρῶτον τὸν τῶν ὅλων δεσπότην θεὸν καὶ ὦφθαι
first the of-the universe master God both to-have-been-seen
τῷ Ἀβραὰμ καὶ διειλέχθαι. ἐκεῖ μὲν οὖν πρῶτον ἡ
— to-Abraham and to-have-conversed there indeed then first the
τοῦ ἁγίου νόμου θρησκεία τὴν καταρχὴν εἴληφεν, ἐκεῖ
of-the holy law worship the beginning has-taken there
πρῶτον ὁ σωτὴρ αὐτὸς μετὰ τῶν δύο ἀγγέλων τὴν
first the savior himself with the two angels the
ignorant and them at (the)-beginnings of-good and evil
εἶναι θελῆσαι, τέλος δ' ἀπονεῖμαι μόνην λογικῷ ζώῳ
to-be to-have-willed finally and to-have-assigned only to-(a)-rational creature
πρέπουσαν τὴν ἐπὶ γῆς ἕδραν, καὶ τότε ἤδη οἷα δὴ λογικοῖς
fitting the on earth dwelling and then now as indeed to-rational
ζώοις ἀναπετάσαι τὴν τῶν ἀγαθῶν τε καὶ κακῶν γνῶσιν.
creatures to-have-opened the of-the good both and evil knowledge
τότε δὴ καὶ τὸ γένος αὔξειν ἐκέλευσεν, ὡς ἂν ποτε
then indeed also the race to-increase he-ordered so-that — at-some-time
τὸ ὅλον ὑπὸ τῆς τοῦ ὠκεανοῦ περινοστήσεως διοριζόμενον
the whole by the of-the ocean circuit bounded
οἰκοῖτο. πληθύοντος δ' οὕτω τοῦ τῶν ἀνθρώπων
might-be-inhabited multiplying and thus the of-the men
γένους, τέχναι τε τῷ βίῳ χρησιμεύουσαι ἀνηυρίσκοντο,
race arts and for-the life useful were-invented
πληθύει τ' οὐδὲν ἧττον καὶ ἡ τῶν ἀλόγων ζώων γενεά,
multiplies and nothing less also the of-the irrational creatures kind
ἐφ' ἑκάστου γένους ἐξαιρέτου τινὸς φυσικῆς δυνάμεως
in each kind (a)-special some natural power
εὑρισκομένης· ἡμέρων ζώων τὸ πρᾶον καὶ ἐπιπειθὲς
being-found of-tame creatures the gentleness and obedience
ἀνθρώπῳ, ἀγρίων δὲ ῥώμη καὶ ταχυτὴς καὶ τῆς ἐκ τῶν
to-man of-wild and strength and swiftness and of-the from the
κινδύνων σωτηρίας φυσική τις πρόνοια. καὶ πάντων μὲν
dangers safety natural some foresight and of-all indeed
ἡμέρων κηδεμονίαν τινὰ τοῖς ἀνθρώποις ἐπέταξε, πρὸς
tame(-creatures) care some to-the men he-assigned toward

δὲ τὰ ἄγρια ἄμιλλάν τινα, νομοθετήσας. μετὰ δὲ ταῦτα
and the wild(-ones) (a)-contest some having-ordained after and these(-things)
τὴν τῶν πετεινῶν γενεὰν συνεστήσατο, πολλὴν μὲν ἀριθμῷ
the of-the birds kind he-established many indeed in-number
φύσει δὲ καὶ ἔθεσι διάφορον, ἐκπρεπῆ μὲν χρωμάτων
in-nature and also habits diverse distinguished indeed of-colors
ποικιλίᾳ μουσικῆς δ' ἁρμονίας ἐμφύτου μέτοχον, ἄλλα
by-variety of-musical and harmony innate sharing other(-things)
τε πάντα ὅσα κόσμος περιλαβὼν συνέχει διευκρινησάμενος,
and all which (the)-world having-embraced holds-together having-distinguished
καὶ τούτοις πᾶσιν εἱμαρμένον τοῦ βίου θεσμὸν ὁρίσας,
and for-these all (a)-fated of-the life ordinance having-fixed
τὴν τελειοτάτην τῶν ὅλων συμπλήρωσιν κατεκόσμησεν.
the most-perfect of-the universe completion he-adorned

II · FATE, CHANCE, AND THE PHILOSOPHERS

Those who credit nature, fate, or chance err: fate, if a law, is God's ordinance, and virtue, law, and judgment cannot come from fate or chance. The heavens, the seasons, the hot springs, the rivers, and the metals show providence. The philosophers' disputes led them astray: Socrates was put to death by his citizens' envy, Pythagoras passed off the prophets' teaching as his own, and Plato, rightly teaching a first God and a second, brought in many gods, though he corrected himself on the soul's reward. Some mock that as myth yet believe the poets, whose tales of gods warring and grieving are lies.

6 Οἱ δὲ πλεῖστοι τῶν ἀνθρώπων ἄφρονες ὄντες τῆς τῶν
the and most of-the men senseless being of-the of-the
πάντων διακοσμήσεως τὴν φύσιν αἰτιῶνται, οἱ δέ
all ordering the nature blame the(-others) and
τινες αὐτῶν τὴν εἱμαρμένην ἢ τὸ αὐτόματον. τὴν τούτων
some of-them the fate or the spontaneous the of-these

ἐξουσίαν τῇ εἱμαρμένῃ λογιζόμενοι οὐδὲ συνιᾶσιν, ὅταν
power to-the fate reckoning not-even they-understand when
τὴν εἱμαρμένην προσαγορεύωσιν, ὄνομα μὲν φθεγγόμενοι,
the fate they-name (a)-name indeed uttering
πρᾶξιν δ' οὐδεμίαν οὐδ' ὑποκειμένην τινὰ δηλοῦντες οὐσίαν.
action but no nor underlying any showing substance
τίς γὰρ ἂν εἴη αὐτὴ καθ' ἑαυτὴν ἡ εἱμαρμένη, τῆς
what for — would-be itself by itself the fate the
φύσεως γεννησάσης τὰ πάντα; ἢ τί ἂν εἶναι ἡ φύσις
nature having-begotten the all(-things) or what — to-be the nature
νομίζοιτο, εἴπερ ὁ τῆς εἱμαρμένης θεσμὸς ἀπαράβατος
would-be-thought if-indeed the of-the fate ordinance inviolable
ὑπάρχει; ἀλλὰ καὶ τὸ λέγειν εἱμαρμένον τινὰ θεσμὸν εἶναι
is but also the to-say fated some ordinance to-be
δηλοῖ ὅτι θεσμὸς πᾶς ἔργον ἐστὶ τοῦ θεσμοθετήσαντος.
shows that ordinance every (the)-work is of-the ordainer
ἡ τοίνυν εἱμαρμένη, εἴπερ ἐστὶ θεσμός, θεοῦ ἂν εὕρημα
the therefore fate if-indeed it-is (an)-ordinance of-God — (a)-device
εἴη· πάντ' ἄρα ὑποτέτακται τῷ θεῷ, καὶ οὐδὲν
would-be all(-things) after-all are-subjected — to-God and nothing
ἄμοιρον τῆς ἐκείνου δυνάμεως. καὶ τήν γε εἱμαρμένην
without-share of-the his power and the at-least fate
θεοῦ εἶναι καὶ νομίζεσθαι προαίρεσιν ἀποδεχόμεθα· ἀλλὰ
of-God to-be and to-be-thought (the)-choice we-accept but
πῶς ἡ δικαιοσύνη καὶ ἡ σωφροσύνη καὶ αἱ λοιπαὶ ἀρεταὶ
how the justice and the temperance and the other virtues
καθ' εἱμαρμένην; πόθεν δὲ τὰ ταύταις ὑπεναντία, ἥ
by fate whence and the(-things) to-these opposite the
τε ἀδικία καὶ ἡ ἀκολασία; ἥ τε γὰρ πονηρία ἐκ φύσεως
both injustice and the licentiousness the both for wickedness from nature
ἀλλ' οὐχ εἱμαρμένης, ἥ τε ἀρετὴ ἤθους καὶ τρόπων
but not from-fate the and virtue of-character and ways

ἐστὶ κατορθώματα. τὰ δὲ τῆς ἀγαθῆς καὶ ὀρθῆς
is (the)-achievements the(-things) and of-the good and right
προαιρέσεως ἤτοι πταίσματα ἢ αὖ πάλιν κατορθώματα,
choice either failures or again in-turn successes
ἄλλοτε ἄλλως ἀποβαίνοντα ἢ κατὰ τύχην ἢ κατὰ
at-different-times differently turning-out either by chance or by
εἱμαρμένην, πᾶν τε τὸ δίκαιον καὶ τὸ κατ' ἀξίαν
fate all and the just and the(-thing) according-to desert
ἀπονεμόμενον ἑκάστῳ πῶς καθ' εἱμαρμένην; νόμοι δὲ καὶ
assigned to-each how by fate laws and also
προτροπαὶ ἐπὶ ἀρετὴν καὶ ἀποτροπαὶ ἀπὸ τῶν μὴ
exhortations to virtue and dissuasions from the(-things) not
δεόντων καὶ ἔπαινοι καὶ ψόγοι τιμωρίαι τε καὶ πάνθ' ὅσα
fitting and praises and blames punishments both and all(-things) which
παρακαλεῖ μὲν ἐπὶ ἀρετὴν ἀπάγει δ' ἀπὸ πονηρίας, πῶς
summon indeed to virtue lead-away and from wickedness how
οὐκ ἐκ δικαιοσύνης, ἥτις ἐστὶν ἰδία θεοῦ προνοουμένου,
not from justice which is proper of-God providing
ἀλλ' ἐκ τύχης ἢ τοῦ αὐτομάτου συστῆναι λέγεται; διὰ
but from chance or the spontaneous to-have-arisen is-said because-of
γὰρ τὸν ποιὸν τῶν ἀνθρώπων βίον καὶ τὸ κατ'
for the kind of-the men life and the(-thing) according-to
ἀξίαν ἐπαρτᾷ, λοιμῶν ἔσθ' ὅτε καὶ στάσεων ἀφορίας τέ
desert hangs-over plagues there-is when and strifes barrenness both
καὶ εὐφορίας ἐπακολουθούντων φανερῶς τε καὶ διαρρήδην
and fertility following clearly both and expressly
μόνον οὐχὶ φωνὴν ἀφιέντων, ὅτι πάντα τὰ τοιαῦτα τοῖς
only not (a)-voice uttering that all the such(-things) to-the
ἡμετέροις βίοις ἐφήρμοσται. ἡ γάρ τοι οὐσία χαίρει μὲν
our lives are-fitted the for surely substance rejoices indeed
εὐδικίαις ἀποστρέφεται δὲ πᾶσαν δυσσέβειαν, καὶ τὸ
in-just-dealings turns-away and all impiety and the

μέτριον φρόνημα δεξιοῦται, μισεῖ δὲ τόλμαν καὶ τὴν ὑπὲρ
moderate mind welcomes hates and audacity and the beyond
τὸ ζῶον ἐπηρμένην ἀλαζονείαν· ὧν εἰ καὶ τὰ μάλιστα
the creature exalted arrogance of-which if even the most
σαφεῖς καὶ πρὸ ὀφθαλμῶν κείμεναί εἰσιν αἱ ἀποδείξεις,
clear and before eyes lying are the proofs
τηνικαῦτα μέντοι φανερώτερον ἐκλάμπουσιν, ὁσάκις ἄν,
then however more-clearly they-shine-forth whenever —
συναγείραντες εἰς ἑαυτοὺς καὶ οἱονεὶ συστείλαντες τὸν
having-gathered into ourselves and as-it-were having-drawn-together the
νοῦν, τὴν αἰτίαν αὐτῶν παρ' ἑαυτοῖς λογιζώμεθα. διὸ
mind the cause of-them with ourselves we-consider therefore
χρῆναί φημι ζῆν μετρίως τε καὶ προσηνῶς, μὴ ὑπὲρ τὴν
(one)-ought I-say to-live moderately both and gently not beyond the
φύσιν τὸ φρόνημα ἐγείροντας, καὶ ἐννοίας λαμβάνοντας
nature the mind raising and thoughts taking
ἀεὶ παρεῖναι ἡμῖν τὸν ἐπόπτην τῶν πρασσομένων
always to-be-present to-us the overseer of-the(-things) done
θεόν. ἔτι δὲ καὶ οὕτω βασανιστέον εἰ τὸ λεγόμενον
God further and also thus (one)-must-test whether the(-thing) said
ἀληθές ἐστιν, ὡς ἡ πάντων πραγμάτων διάταξις ἐκ τύχης
true is that the of-all things ordering from chance
καὶ τοῦ αὐτομάτου συνέστη· ἆρ' οὖν καὶ τὰ οὐράνια
and the spontaneous arose (is-it) then also the heavenly(-things)
καὶ τὰ ἄστρα, γῆ τε καὶ θάλασσα, καὶ πῦρ καὶ ἄνεμοι,
and the stars earth both and sea and fire and winds
ὕδωρ τε καὶ ἀήρ, καὶ ἡ τῶν καιρῶν παραλλαγή, θέρους
water both and air and the of-the seasons alternation of-summer
τε καὶ χειμῶνος ὧραι, ταῦτα πάντα ἀλογίστως καὶ ὡς
both and winter seasons these(-things) all irrationally and as
ἔτυχε συμβεβηκέναι μᾶλλον ἢ δημιουργηθῆναι πείθεσθαι
(it)-chanced to-have-come-about rather than to-have-been-made to-believe

χρή; τὸν νοῦν γὰρ οὐκ ἔχοντές φασί τινες τὰ πλεῖστα
must-(we) the mind for not having say some the most
τῶν τοιούτων διὰ τὴν ἑαυτῶν χρείαν τοὺς ἀνθρώπους
of-the such(-things) because-of the their-own need the men
ἐπινενοηκέναι, ἀφθόνως τῆς φύσεως πάντα χρήματα
to-have-devised abundantly the nature all things
χορηγούσης. ἔστω περὶ τῶν ἐπιγείων καὶ φθαρτῶν
supplying let-it-be about the earthly and perishable(-things)
τὴν δόξαν ταύτην λόγου τινὸς μετειληφέναι· ἆρ᾽ οὖν καὶ
the opinion this of-reason some to-have-partaken (is-it) then also
τὰ ἀθάνατα καὶ τὰ ἀναλλοίωτα τῶν ἀνθρώπων ἐστὶν
the immortal and the unchanging(-things) of-the men are
εὑρήματα; τούτων γὰρ καὶ τῶν τοιούτων ἁπάντων, ὅσα
inventions of-these for and of-the such(-things) all which
τῆς ἡμετέρας αἰσθήσεως κεχώρισται, νῷ δὲ μόνῳ
from-the our sense are-separated by-mind but alone
καταληπτὰ τυγχάνει ὄντα, οὐκ ἔνυλον ζῷον, ἄνθρωπος,
graspable happen being not (a)-material creature man
ἀλλὰ νοητὴ καὶ αἰώνιος οὐσία θεοῦ γεννήτριά ἐστιν.
but (an)-intelligible and eternal substance of-God mother is
ἀλλὰ μὴν καὶ ὁ λόγος τῆς διατάξεως ἔργον προνοίας·
but indeed also the reason of-the ordering (the)-work of-providence
τὸ τὴν ἡμέραν ἐκλάμπειν καταυγαζομένην ὑπὸ τοῦ ἡλίου,
the the day to-shine illumined by the sun
τὸ τὴν νύκτα διαδέχεσθαι δύνοντος αὐτοῦ καὶ διαδεξαμένην
the the night to-succeed setting it and having-succeeded
μὴ ἀμαυρὸν ὅλως αὐτὴν καταλείπεσθαι διὰ τὴν τῶν
not dark wholly it to-be-left because-of the of-the
ἄστρων χορείαν. τί δ᾽ ἂν εἴποι τις περὶ τῆς σελήνης,
stars dance what and — might-say one about the moon
πληρουμένης μὲν ἐκ τῆς καταντικρὺ πρὸς τὸν ἥλιον
being-filled indeed from the opposite to the sun

ἀποστάσεως, λεπτυνομένης δὲ διὰ τὴν ἐκ τοῦ σύνεγγυς
distance being-thinned and because-of the from the near
πρὸς αὐτὸν ὁμιλίαν; ταῦτ' οὐχὶ λόγον ἐνδιάθετον καὶ
to it converse these(-things) not reason inward and
ἀγχίνοιαν δηλοῖ θεοῦ; τὸ τ' ἐπιτήδειον τῆς ἡλιακῆς
sagacity show of-God the and fitness of-the solar
φλογὸς τοὺς καρποὺς πεπαινούσης, ἀνέμων τε πνεύματα
flame the fruits ripening of-winds and breaths
εὐετηρίαν παρασκευάζοντα, ὄμβρων τε παραψυχή, καὶ
fruitfulness preparing of-rains and refreshment and
ἡ τούτων ἁρμονία ἁπάντων, καθ' ἣν εὐλόγως τε καὶ
the of-these harmony all by which reasonably both and
εὐτάκτως διοικεῖται τὰ πάντα, τό τ' ἀίδιον τῆς
orderly are-governed the all(-things) the and everlastingness of-the
διατάξεως, εἰς τὸν αὐτὸν ἀποκαθισταμένων τόπον τοῖς
ordering to the same returning place at-the
δέουσι καὶ νομιζομένοις καιροῖς τῶν πλανητῶν, οὐχὶ
due and appointed times the planets (is-it)-not
φανερὰ τοῦ θεοῦ πρόσταξις, καὶ τῶν ἀστέρων ἐντελὴς
(a)-manifest — of-God command and of-the stars complete
διακονία πειθομένη τῷ θείῳ νόμῳ; ὕψη δ' ὀρῶν καὶ
service obeying the divine law heights and of-mountains and
κοῖλα βάθη χωρίων ὁμαλότης τ' ἀναπεπταμένων πεδίων
hollow depths of-places evenness and spread-out plains
ἄνευ θεοῦ προνοίας εἶναι δοκεῖ; ὧν οὐ μόνον ἐπιτερπὴς
without God's providence to-be seems of-which not only delightful
ἡ θέα ἀλλὰ καὶ ἡ χρῆσις ἐπιτερπής. ὕδατος δὲ καὶ
the sight but also the use delightful of-water and also
γῆς μέτρα καὶ διαστάσεις, ἱκαναὶ πρός τε γεωργίαν καὶ
of-earth measures and extents sufficient for both farming and
τὴν ἐκ τῆς ἀλλοδαπῆς τῶν ἐν χρείᾳ παρακομιδήν,
the from the foreign(-land) of-the(-things) in need conveyance

τὴν ἀκριβῆ τοῦ θεοῦ καὶ ἔμμετρον προμήθειαν πῶς οὐ
the exact — of-God and measured providence how not
φανερῶς ἀποδεικνύουσιν; ὄρη μὲν γὰρ ὕδωρ ἔχει,
clearly do-they-show mountains indeed for water hold
διαδεξαμένη δὲ τοῦτο ὁμαλότης καὶ ἀρδευσαμένη τὸ
having-received and it (the)-evenness and having-watered(-itself) the(-amount)
ἱκανὸν πρὸς ἀνάκτησιν τῆς γῆς ἐξωθεῖ τὸ λοιπὸν εἰς τὴν
sufficient for (the)-restoring of-the earth thrusts-out the rest into the
θάλασσαν, ἡ δ' αὖ θάλασσα τῷ ὠκεανῷ παραδίδωσι.
sea the and in-turn sea to-the ocean hands-over
καὶ ἔτι τολμῶμεν λέγειν ταῦτα πάντα αὐτομάτως καὶ
and still do-we-dare to-say these(-things) all spontaneously and
ὡς ἔτυχε γίγνεσθαι; οὐ δηλοῦντες ἐν ποίῳ τινὶ σχήματι
as (it)-chanced to-happen not showing in what kind shape
καὶ μορφῇ χαρακτηρίζεται τὸ αὐτόματον, ὑπόστασιν
and form is-characterized the spontaneous subsistence
οὐδεμίαν ἔχον οὔτε νοερῶς οὔτ' αἰσθητῶς, μόνον δ' ὅτι
no having neither intelligibly nor sensibly only but that
ἦχος ὀνόματος ἀνυποστάτου περὶ τὰ ὦτα βομβεῖ.
(the)-sound of-(a)-name unsubstantial about the ears buzzes

7 Ἔστι γὰρ ὡς ἀληθῶς ἐπίφθεγμα τὸ αὐτόματον ἀνθρώπων
is for as truly (a)-byword the spontaneous of-men
ὡς ἔτυχε καὶ ἀλογίστως φρονούντων καὶ τὸν μὲν λόγον
as (it)-chanced and irrationally thinking and the indeed reason
αὐτῶν μὴ καταλαμβανόντων, διὰ δὲ τὴν ἀσθένειαν
of-them not grasping because-of and the weakness
τῆς καταλήψεως ἀλόγως οἰομένων διατετάχθαι ταῦτα
of-the apprehension without-reason supposing to-have-been-ordered these(-things)
ὧν τὸν λόγον εἰπεῖν οὐκ ἔχουσιν. ἔστι δ' ὅμως
of-which the reason to-tell not they-are-able there-are but nevertheless
τινά, ὧν ἡ ἀληθὴς κατάληψις τῆς ἀληθείας
some(-things) of-which the true apprehension of-the truth

ἐν βάθει κεῖται, θαυμαστῆς τινος φύσεως τετυχηκότα,
in depth lies wonderful some nature having-obtained
ὁποία καὶ ἡ τῶν θερμῶν ὑδάτων φύσις τυγχάνει οὖσα.
such-as also the of-the hot waters nature happens being
τὴν μὲν γὰρ αἰτίαν τοῦ τοσούτου πυρὸς οὐδεὶς ἂν
the indeed for cause of-the so-great fire no-one —
ἔχοι προχείρως λέγειν, θαυμαστὸν δ' ὅτι ψυχρῷ ὕδατι
could readily tell (it-is)-wonderful and that by-cold water
περιστοιχιζόμενον κύκλῳ οὐκ ἔτι ἐξίσταται τῆς ἐμφύτου
surrounded in-a-circle no longer it-departs-from the innate
θερμότητος. ταῦτά τοι σπάνιόν τι χρῆμα εἶναι δοκεῖ
heat these(-things) surely rare some thing to-be seems
καὶ εὐαρίθμητον κατὰ πᾶσαν τὴν οἰκουμένην, ἵν', ὡς
and few throughout all the world that as
ἐμαυτὸν πείθω, ἡ τῆς προνοίας δύναμις εὐδιάγνωστος
myself I-persuade the of-the providence power easily-discerned
παρὰ τοῖς ἀνθρώποις γενέσθαι δύνηται, δύο φύσεις
among the men to-become may-be-able two natures
ἐναντιωτάτας, θερμότητα καὶ ψυχρότητα, ἐκ τῆς αὐτῆς
most-opposite heat and cold from the same
καὶ μιᾶς ῥίζης διηθεῖσθαι θεσπίζουσα. πολλὰ μὲν οὖν καὶ
and one root to-be-filtered decreeing many(-things) indeed then and
ἀναρίθμητα εἰς παραμυθίαν καὶ ἀπόλαυσιν τοῖς ἀνθρώποις
countless for comfort and enjoyment to-the men
παρὰ τοῦ κρείττονος δεδώρηται, ἐξαιρέτως δ' ὁ καρπὸς
by the greater have-been-given especially and the fruit
ἐλαίας τε καὶ ἀμπέλου, τὸ μὲν ἀνακτήσεως ψυχῆς
of-olive both and vine the(-one) indeed of-restoring of-soul
καὶ φαιδρότητος ἐπέχον λόγον, τὸ δ' ἕτερον πρὸς τῇ
and cheer holding (the)-place the and other for the
ἀπολαύσει καὶ θεραπείᾳ τῶν σωμάτων κατάλληλον. θαῦμα
enjoyment and tending of-the bodies fitting (a)-wonder

δ' ἐξαίσιον καὶ ἡ ἐνδελεχὴς καὶ ἀδιάλειπτος ποταμῶν
and extraordinary also the continuous and unceasing of-rivers
φορὰ νύκτωρ τε καὶ μεθ' ἡμέραν, σύμβολον ἀενάου καὶ
flow by-night both and by day (a)-symbol of-everlasting and
ἀδιαλείπτου βίου· ἰσοδυναμεῖ δὲ καὶ νυκτερινὴ διαδοχή.
unceasing life is-equivalent and also nightly succession

8 Πάντα δὲ ταῦθ' ἡμῖν εἰρήσθω πρὸς πίστωσιν τοῦ
all(-things) and these by-us let-be-said toward confirmation of-the
μηδὲν ἀλόγως μηδ' ἀνοήτως γενέσθαι, τὸν δὲ λόγον
nothing irrationally nor senselessly to-happen the and reason
καὶ τὴν πρόνοιαν εἶναι θεόν· ὃς καὶ τὴν τῶν μετάλλων
and the providence to-be God who also the of-the metals
εὐχρηστίαν ἐπικουρεῖν ταῖς ἐνδείαις κελεύσας, τὴν χρυσοῦ
usefulness to-relieve the needs having-ordered the of-gold
τε καὶ χαλκοῦ καὶ τῶν ὑπολοίπων φύσιν ἐταμιεύσατο
both and bronze and of-the rest nature dispensed
μέτρῳ τῷ προσήκοντι, τὰ μέν, ὧν ἡ χρεία
in-measure the fitting the(-things) indeed of-which the need
πολλὴ τε καὶ παντοδαπὴ ἤμελλεν ἔσεσθαι, ἀφθόνως
great both and manifold was-going to-be abundantly
κελεύσας χορηγεῖσθαι, τὰ δὲ πρὸς τέρψιν κόσμου καὶ
having-ordered to-be-supplied the(-things) and for delight of-ornament and
ἀφθονίαν μόνην μεγαλοψύχως τε καὶ πεφεισμένως, μεταξὺ
plenty only generously both and sparingly between
φειδωλίας τε καὶ εὐδωρίας. εἰ γὰρ καὶ τῶν πρὸς
thrift both and bounty if for also of-the(-things) for
κόσμον πεποιημένων ἡ αὐτὴ ἀφθονία συνεχωρεῖτο, διὰ
ornament made the same plenty were-allowed because-of
πλεονεξίαν οἱ μεταλλεύοντες τοῦ μὲν εὐχρήστου πρὸς
greed the(-ones) mining the indeed useful for
γεωργίαν οἰκοδομήν τε καὶ ναῶν παρασκευήν, οἷον σιδήρου
farming building both and of-ships fitting-out such-as iron

καὶ χαλκοῦ, καταφρονήσαντες τῆς συναθροίσεως αὐτῶν
and bronze having-despised the gathering of-them
κατημέλουν, τῶν πρὸς τρυφὴν δὲ καὶ ἄχρηστον πλούτου
would-neglect the(-things) for luxury and also useless of-wealth
περιουσίαν προενοοῦντο. διὸ χαλεπώτερον τὴν τοῦ
abundance would-attend-to therefore harder the of-the
χρυσοῦ τε καὶ ἀργύρου εὕρεσιν καὶ μείζονος καμάτου τῶν
gold both and silver finding and of-greater labor than-the
ἄλλων ἁπάντων μετάλλων φασὶν εἶναι, ὅπως τῷ σφοδρῷ
other all metals they-say to-be so-that to-the vehemence
τῆς ἐπιθυμίας τὸ τοῦ καμάτου σφοδρὸν ἀντιτάσσηται.
of-the desire the of-the labor vehemence may-be-opposed
πόσα δ' ἄλλα τῆς θείας προνοίας ἔργα ἔστι
how-many and other of-the divine providence works (is-it)-possible
καταριθμήσασθαι ἐπὶ πᾶσιν, οἷς ἀφθόνως ἡμῖν ἐδωρήσατο,
to-count besides all(-things) which abundantly to-us it-gave
τὸν τῶν ἀνθρώπων βίον πρὸς σωφροσύνην τε καὶ τὰς
the of-the men life toward temperance both and the
ἄλλας πάσας ἀρετὰς προτρεπομένης διαρρήδην, ἀπαγούσης
other all virtues urging expressly leading-away
δ' ἀπὸ τῆς ἀκαίρου πλεονεξίας. ὧν πάντων ἐξιχνεύειν
and from the untimely greed of-which all to-trace
τὸν λόγον μεῖζον ἔργον ἐστὶν ἢ κατὰ ἄνθρωπον.
the reason greater (a)-task is than according-to man
πῶς γὰρ ἂν τῆς κατὰ ἀκρίβειαν ἀληθείας ἐφίκοιτο ἡ
how for — the in exactness truth could-reach the
φθαρτοῦ τε καὶ ἀσθενοῦς ζώου διάνοια; πῶς ἂν τὴν
of-(a)-perishable both and weak creature mind how — the
ἐξ ἀρχῆς εἰλικρινῆ τοῦ θεοῦ βούλησιν κατανοήσειεν;
from (the)-beginning pure — of-God will could-it-perceive

9 Διὸ χρὴ τοῖς δυνατοῖς ἐγχειρεῖν καὶ τοῖς
therefore (one)-must the(-things) possible to-attempt and the(-things)
κατὰ τὴν ἡμετέραν φύσιν. τὸ γάρ τοι πιθανὸν τῶν ἐν
according-to the our nature the for surely plausibility of-the in
τοῖς διαλόγοις γινομένων ζητήσεων ἀπάγει τὸ πλεῖστον
the dialogues arising inquiries leads-away the most
ἡμῶν ἀπὸ τῆς τῶν ὄντων ἀληθείας, ὃ δὴ καὶ
of-us from the of-the beings truth which indeed also
πολλοῖς τῶν φιλοσόφων συμβέβηκεν ἀδολεσχοῦσι περὶ
to-many of-the philosophers has-happened prating about
τοὺς λόγους καὶ τὴν τῆς φύσεως τῶν ὄντων ἐξέτασιν.
the arguments and the of-the nature of-the beings inquiry
ὁσάκις γὰρ ἂν τὸ μέγεθος τῶν πραγμάτων τῆς ἐξετάσεως
whenever for — the greatness of-the matters the inquiry
αὐτῶν ἐπικρατήσῃ, διαστρόφοις τισὶ μεθόδοις τὸ ἀληθὲς
their overpowers with-perverse certain methods the truth
ἀποκρύπτονται· συμβαίνει δὴ αὐτοῖς ἐναντία δοξάζειν
they-conceal it-happens indeed to-them opposite(-things) to-think
καὶ μάχεσθαι τοῖς ἀλλήλων δόγμασι, καὶ ταῦτα σοφοῖς
and to-fight with-the one-another's doctrines and that wise
εἶναι προσποιουμένοις. ὅθεν στάσεις τε δήμων καὶ
to-be pretending whence uprisings both of-peoples and
δυναστευόντων χαλεπαὶ κρίσεις οἰομένων τὸ πατρῷον
of-rulers harsh judgments thinking the ancestral
ἔθος διαφθείρεσθαι· καὶ αὐτῶν ἐκείνων ὄλεθρος πολλάκις
custom to-be-corrupted and of-the-very those(-men) destruction often
ἐπηκολούθησε. Σωκράτης γὰρ ὑπὸ διαλεκτικῆς ἐπαρθεὶς τοὺς
followed Socrates for by dialectic elated the
χείρονας λόγους βελτίους ποιῶν, καὶ παίζων παρ' ἕκαστα
worse arguments better making and playing at every-turn
περὶ τοὺς ἀντιλογικοὺς λόγους, ὑπὸ τῆς τῶν ὁμοφύλων τε
with the contradictory arguments by the of-the kinsmen both

καὶ πολιτῶν βασκανίας ἀνῄρηται. οὐ μὴν ἀλλὰ καὶ
and citizens envy has-been-put-to-death not however but also
Πυθαγόρας σωφροσύνην ἀσκεῖν προσποιούμενος ἐξαιρέτως
Pythagoras temperance to-practice pretending especially
καὶ σιωπὴν καταψευσάμενος ἑάλω· τὰ γὰρ ὑπὸ
and silence having-falsely-professed was-caught the(-things) for by
τῶν προφητῶν πάλαι ποτὲ προλεχθέντα, ἐπιδημήσας τῇ
the prophets long-ago once foretold having-sojourned —
Αἰγύπτῳ, ὡς ἴδιά γε αὐτῷ ὑπὸ θεοῦ ἀναπετασθέντα
in-Egypt as (his)-own at-least to-him by God revealed
τοῖς Ἰταλιώταις προηγόρευεν. αὐτός τε ὁ ὑπὲρ πάντας
to-the Italians he-proclaimed himself and the beyond all
τοὺς ἄλλους ἡπιώτατος Πλάτων, τὰς διανοίας τῶν
the others gentlest Plato the minds of-the
ἀνθρώπων πρῶτος ἀπὸ τῶν αἰσθήσεων ἐπὶ τὰ νοητὰ
men first from the senses to the intelligible(-things)
καὶ ἀεὶ ὡσαύτως ἔχοντα ἐθίσας ἀνακύψαι ἀναβλέψαι
and always alike being having-accustomed to-rise-up to-look-up
τ᾽ ἐπὶ τὰ μετάρσια διδάξας, πρῶτον μὲν θεὸν ὑφηγήσατο
and to the lofty(-things) having-taught first indeed God he-set-forth
τὸν ὑπὲρ τὴν οὐσίαν, καλῶς ποιῶν, ὑπέταξε δὲ τούτῳ
the(-one) beyond the substance well doing he-subordinated and to-him
καὶ δεύτερον, καὶ δύο οὐσίας τῷ ἀριθμῷ διεῖλε, μιᾶς
also (a)-second and two substances in-the number he-distinguished one
οὔσης τῆς ἀμφοτέρων τελειότητος, τῆς τε οὐσίας τοῦ
being the of-both perfection the and substance of-the
δευτέρου θεοῦ τὴν ὕπαρξιν ἐχούσης ἐκ τοῦ πρώτου· αὐτὸς
second God the existence having from the first he
γάρ ἐστιν ὁ δημιουργὸς καὶ διοικητὴς τῶν ὅλων δηλονότι
for is the maker and governor of-the universe clearly
ὑπεραναβεβηκώς, ὁ δὲ μετ᾽ ἐκεῖνον ταῖς ἐκείνου
transcendent the(-one) and after him the his

προστάξεσιν ὑπουργήσας τὴν αἰτίαν τῆς τῶν πάντων
commands having-served the cause of-the of-the all
συστάσεως εἰς ἐκεῖνον ἀναπέμπει. εἷς ἂν οὖν εἴη κατὰ
constitution to him refers one — then would-be according-to
τὸν ἀκριβῆ λόγον ὁ τὴν πάντων ἐπιμέλειαν ποιούμενος
the exact account the the of-all care making
προνοούμενός τε αὐτῶν θεός λόγῳ κατακοσμήσας τὰ
providing and for-them God by-(the)-word having-ordered the
πάντα· ὁ δὲ λόγος αὐτὸς θεὸς ὢν αὐτὸς τυγχάνει καὶ
all(-things) the and word himself God being himself happens(-to-be) also
θεοῦ παῖς· ποῖον γὰρ ἄν τις ἄλλο ὄνομα αὐτῷ περιτιθεὶς
of-God son what for — one other name to-him giving
παρὰ τὴν προσηγορίαν τοῦ παιδὸς οὐκ ἂν τὰ μέγιστα
besides the appellation of-the son not — the(-things) greatest
ἐξαμαρτάνοι; ὁ γάρ τοι τῶν πάντων πατὴρ καὶ τοῦ ἰδίου
would-err the for surely of-the all father also of-the own
λόγου δικαίως ἂν πατὴρ νομίζοιτο. μέχρι μὲν οὖν τούτου
word justly — father would-be-thought up-to indeed then this(-point)
Πλάτων σώφρων ἦν· ἐν δὲ τοῖς ἑξῆς εὑρίσκεται
Plato sound was in but the(-things) following be-is-found
διαμαρτάνων τῆς ἀληθείας, πλῆθός τε θεῶν εἰσάγων καὶ
missing the truth (a)-multitude both of-gods introducing and
ἑκάστοις ἐπιτιθεὶς μορφάς, ὅπερ καὶ παραίτιον ἐγένετο τῆς
to-each giving forms which also partly-the-cause became of-the
μείζονος πλάνης παρὰ τοῖς ἀλογίστοις τῶν ἀνθρώπων,
greater error among the unreasoning of-the men
πρὸς μὲν τὴν πρόνοιαν τοῦ ὑψίστου θεοῦ μὴ ἀφορώντων,
toward indeed the providence of-the most-high God not looking
τὰς δ' εἰκόνας αὐτῶν ἀνθρωπείοις τε καὶ ἑτέρων
the but images of-them with-human both and of-other
ζώων τύποις μεταμορφουμένας σεβόντων. συμβέβηκε δὲ
creatures shapes transformed worshiping it-has-happened and

μεγίστην τινὰ μεγάλου τ᾽ ἐπαίνου ἀξίαν φύσιν τε καὶ
(a)-very-great some of-great and praise worthy nature both and
παιδείαν τοιοῖσδέ τισι μεμιγμένην πταίσμασιν ἀκαθάρτως
learning with-such certain mixed faults impurely
τε καὶ μὴ εἰλικρινῶς ἔχειν. δοκεῖ δέ μοι ὁ αὐτὸς
both and not purely to-be he-seems but to-me the same
ἐπιλαμβανόμενος ἑαυτοῦ διορθοῦν τὸ ἁμάρτημα, ἐν οἷς
correcting himself to-amend the error in which
φανερῶς διαβεβαιοῦται τὸν θεὸν ἡμῖν ἐμπνεῦσαι τὸν ἑαυτοῦ
clearly he-affirms — God into-us to-have-breathed the his-own
λόγον, τὸ πνεῦμα τοῦ θεοῦ σαφῶς δηλῶν λογικὴν ψυχὴν
word the spirit — of-God clearly showing (a)-rational soul
ὑπάρχειν, διϊστῶν δὲ τὰ πάντα εἰς δύο εἴδη, νοητόν τε
to-be dividing and the all(-things) into two kinds intelligible both
καὶ αἰσθητόν, τὸ μὲν ∗∗∗, τὸ δὲ συγκείμενον ἐκ
and sensible the(-one) indeed (lacuna) the(-other) and composed from
σώματος ἁρμογῆς καὶ τὸ μὲν νῷ καταληπτόν, τὸ
of-body joining and the(-one) indeed by-mind graspable the(-other)
δὲ δόξῃ μετ᾽ αἰσθήσεως δοξαστόν· ὥστε τὸ μὲν τοῦ
and by-opinion with sense opinable so-that the(-one) indeed of-the
ἁγίου πνεύματος μετέχον, ἅτε δὴ ἀσύνθετον καὶ ἄλυτον,
holy spirit partaking as indeed uncompounded and indissoluble
αἰώνιόν τε εἶναι καὶ τὴν ἀΐδιον ζωὴν λελογχέναι, τὸ
eternal both to-be and the everlasting life to-have-received the(-other)
δὲ αἰσθητόν, πάντη διαλυόμενον καθ᾽ ὃν καὶ συνέστη
and sensible altogether dissolved according-to which also it-was-composed
λόγον, ἄμοιρον εἶναι τῆς ἀιδίου ζωῆς. θαυμαστῶς δὲ καὶ
reason without-share to-be of-the everlasting life wonderfully and also
ἐν τοῖς ἐξῆς διδάσκει, τοὺς μὲν εὖ βιώσαντας, ψυχὰς
in the(-things) following he-teaches those indeed well having-lived souls
δηλαδὴ τῶν ὁσίων τε καὶ ἀγαθῶν ἀνδρῶν, μετὰ τὴν ἀπὸ
namely of-the holy both and good men after the from

τοῦ σώματος ἀναχώρησιν ἐν τοῖς καλλίστοις τοῦ οὐρανοῦ
the body departure in the fairest(-places) of-the heaven
καθιεροῦσθαι. ἀλλὰ καὶ βιωφελῶς· τίς γὰρ οὐκ ἂν πεισθεὶς
to-be-enshrined but also usefully who for not — persuaded
αὐτῷ καὶ τὴν εὐτυχίαν ταύτην προσδοκήσας, τὸν ἄριστον
by-him and the happiness this expecting the best
βίον, δικαιοσύνην καὶ σωφροσύνην, ἀσκήσει, τήν δὲ κακίαν
life justice and temperance will-practice the and vice
ἀποστραφήσεται; ἀκολούθως δὲ τούτοις ἐπήνεγκεν τὰς
will-turn-from consistently and with-these he-added the
τῶν πονηρῶν ψυχὰς Ἀχέροντός τε καὶ Πυριφλεγέθοντος
of-the wicked souls of-Acheron both and of-Pyriphlegethon
ῥεύμασι ναυαγίων τρόπον φερομένας πλανᾶσθαι.
in-streams of-shipwrecks (in)-manner carried to-wander
10 Εἰσὶ μέντοι γέ τινες ἐπὶ τοσοῦτον τὴν διάνοιαν
there-are however at-least some(-men) to such(-a-degree) in-the mind
βεβλαμμένοι, ὥστε ὅταν τούτοις αὐτοῖς ἐντυγχάνωσι,
harmed that when with-these very(-things) they-meet
μήτ' ἐπιστρέφεσθαι μήτε δεδοικέναι, καταφρονεῖν δὲ καὶ
neither to-heed nor to-fear to-despise but and
ἐγγελᾶν ὡς πεπλασμένων τινῶν μύθων ἀκούοντες·
to-laugh-at(-them) as fabricated some myths hearing
καὶ τὸ μὲν ποικίλον τῆς εὐγλωττίας ἐγκωμιάζουσι, τὸ
and the indeed elaborateness of-the eloquence they-praise the
δὲ στερεὸν τοῦ δόγματος ἀποστρέφονται, μύθοις τε
but solidity of-the doctrine they-turn-from myths and
πιστεύουσι ποιητικοῖς, καὶ πᾶσαν μὲν Ἑλλάδα πᾶσαν
they-believe poetic and all indeed Hellas all
δὲ βάρβαρον ἐώλοις τε καὶ ψευδέσι φήμαις διαβοῶσιν.
and barbarian(-land) with-stale both and false rumors they-fill-with-noise
οἱ γάρ τοι ποιηταὶ παῖδας θεοῦ, ἀνθρώπους, μετὰ
the for surely poets sons of-(a)-god men after

τὴν τελευτὴν φασὶ κρίνειν τὰς ψυχάς, κρίσεις τε καὶ
the end say to-judge the souls judgments both and
δικαιωτήρια ὑμνοῦντες καὶ τῶν κατοιχομένων ἐπόπτας
judgment-seats hymning and of-the departed overseers
ἐφιστάντες, οἱ δὲ αὐτοὶ ποιηταὶ μάχας δαιμόνων καὶ
setting-up the and same poets battles of-demons and
πολεμικούς τινας ἐξαγγέλλουσι νόμους, εἱμαρμένας τε
warlike certain proclaim laws fates and
αὐτῶν διαφημίζουσι, καὶ τοὺς μέν τινας φύσει πικρούς,
their spread-abroad and those indeed some by-nature bitter
τοὺς δὲ τῆς τῶν ἀνθρώπων ἐπιμελείας ἀλλοτρίους,
those and from-the of-the men care estranged
τοὺς δέ τινας δυσχερεῖς ἀποφαίνονται. εἰσάγουσι δὲ
those and some difficult they-declare they-bring-in and
καὶ ὀδυρομένους τὰς τῶν ἰδίων παίδων σφαγάς, ὡς μὴ
also lamenting the of-the own children slaughters as not
δυνατὸν αὐτοῖς οὐχ ὅτι γ' ἀλλοτρίοις ἀλλὰ μηδὲ τοῖς
possible for-them not that at-least for-strangers but not-even for-the
φιλτάτοις ἐπαρκεῖν, ἀνθρωποπαθεῖς τ' αὐτοὺς εἰσάγουσι,
dearest to-help with-human-passions and them they-bring-in
πολέμους καὶ τρώσεις χαράς τε καὶ ὀδυρμοὺς ᾄδοντες.
wars and woundings joys both and laments singing
καὶ εἰσὶν ἀξιόπιστοι λέγοντες. εἰ γὰρ ἐπιπνοίᾳ θείᾳ
and they-are trustworthy speaking if for by-inspiration divine
μετέρχονται τὴν ποιητικήν, πιστεύειν αὐτοῖς καὶ πείθεσθαι
they-pursue the poetic(-art) to-believe them and to-obey
προσήκει περὶ ὧν λέγουσιν ἐνθουσιάζοντες· λέγουσι δὲ
it-befits about what they-say inspired they-tell and
παθήματα θεῶν τε καὶ δαιμόνων. τὰ ἄρα παθήματα
sufferings of-gods both and of-demons the after-all sufferings
τούτων πάντως ἀληθείας ἐφῆπται. ἀλλ' ἐρεῖ τις ἐξεῖναι
of-these wholly on-truth have-laid-hold but will-say one to-be-allowed

ποιηταῖς ψεύδεσθαι· θέλγειν γὰρ τὰς τῶν ἀκουόντων ψυχὰς
for-poets to-lie to-charm for the of-the hearers souls
ἴδιον εἶναι ποιητικῆς, τὸ δ' ἀληθὲς εἶναι, ἡνίκα ἂν τὰ
proper to-be of-poetry the and true to-be when — the(-things)
λεγόμενα μὴ ἄλλως ἔχῃ ἢ ὡς λέγεται. ἔστω τοῦτ' ἴδιον
said not otherwise are than as is-said let-be this proper
ποιήσεως τὸ τὴν ἀλήθειαν ἔσθ' ὅτε ἀφαρπάζειν· ἀλλ'
of-poetry the the truth there-is when to-snatch-away but
οἱ τὰ ψευδῆ λέγοντες οὐ μάτην ψεύδονται· ἢ γὰρ
those the false(-things) saying not in-vain lie either for
κέρδους καὶ ὠφελείας χάριν τοῦτο ποιοῦσιν, ἢ κακήν
of-gain and benefit for-the-sake this they-do or (an)-evil
τινα πρᾶξιν συνειδότες ἑαυτοῖς διὰ τὸν ἐφεστηκότα ἐκ
some deed conscious-of in-themselves because-of the impending from
τῶν νόμων κίνδυνον ἐπικαλύπτονται. ἦν γὰρ δυνατόν,
the laws danger they-cover(-it) it-was for possible
οἶμαι, μηδὲν παρὰ τὴν ἀλήθειαν περὶ τῆς κρείττονος
I-think nothing contrary-to the truth about the higher
φύσεως ἱστοροῦντας ψεύδεσθαι μηδὲ δυσσεβεῖν.
nature relating to-lie nor to-be-impious

Whoever repents of an evil life will be saved. Taught by God and not by men, Constantine hymns Christ against those who mock him as executed, for his patience under outrage shows divine magnanimity. The Son, cause of salvation, existed before the world and came to care for it, conceived without marriage of a virgin, anointed at the Jordan, teaching wisdom, healing the blind, the lame, and the dead, feeding crowds in the desert, calming the sea, and rising to heaven; at his passion darkness hid the sun until he restored the light.

Οὐκοῦν εἴ τίς ἐστιν ἀνάξιος χρηστοῦ βίου σύνοιδέν τε 11
therefore if anyone is unworthy of-(a)-good life is-conscious and
ἑαυτῷ πλημμελῶς καὶ ἀτάκτως τὸν βίον βεβιωκότι, ἐὰν
in-himself faultily and disorderly the life having-lived if
μετάθηται καὶ πρὸς τὸ θεῖον ἀπίδῃ τῷ τῆς ψυχῆς
he-changes and to the divine looks with-the of-the soul
ὄμματι καθαρθεὶς καὶ ἀλλότριος γενόμενος τῆς πάλαι
eye cleansed and (a)-stranger having-become to-the former
κακίστης διαίτης θεραπείας τε τυχὼν τῆς ἐκ θεοῦ,
most-evil way-of-life healing and having-obtained the from God
εἰς τὸν πάντα αἰῶνα ζήσεται. εὐχαριστεῖν δὲ προσήκει
into the whole age he-will-live to-give-thanks and it-befits
διὰ τοῦτο τῷ ἐκεῖνον τε σώσαντι καὶ σώζοντι πάντας
because-of this to-the him both having-saved and saving all
θεῷ. σώζοιντο δ' ἂν εὐμαρέστερον, εἰ μετὰ καθαρᾶς
God they-would-be-saved and — more-easily if with pure
πίστεως τὴν θεραπείαν τῆς ψυχῆς δέχοιντο καὶ μὴ
faith the healing of-the soul they-received and not
ἐπαμφοτερίζοιεν, ὥσπερ οἱ ποτὲ μὲν καταπιστεύοντες
wavered like those at-times indeed entrusting
ἑαυτοὺς τοῖς ἰάμασι ποτὲ δὲ ἀποτρέχοντες, ἀλλὰ
themselves to-the remedies at-times and running-away but

καρτερικῶς τε καὶ γενναίως ὑφιστάμενοι τὸ δικαιοσύνης
steadfastly both and nobly undergoing the of-justice
καὶ σωφροσύνης καὶ τῶν λοιπῶν ἄκος. ἡμεῖς γοῦν
and of-temperance and of-the rest cure we at-any-rate
κατὰ τὸ δυνατὸν ἁμιλλώμεθα τοὺς ἀμυήτους τῶν
according-to the possible we-strive the uninitiated in-the
τοιούτων λόγων ἐλπίδος ἀγαθῆς ἐμπλῆσαι, βοηθὸν ἡμῖν
such words with-hope good to-fill (as)-helper for-us
πρὸς τὸ ἐπιτήδευμα προσκαλεσάμενοι τὸν θεόν· οὐδὲ γὰρ
for the pursuit having-called — God not for
μέτριον ἔργον τὰς διανοίας τῶν ὑπηκόων ἡμῖν, εἰ μὲν
(a)-moderate task the minds of-the subjects our if indeed
ἀγαθαὶ τυγχάνοιεν οὖσαι, προτρέψασθαι ἐπὶ τὴν θεοσέβειαν,
good they-happen being to-urge to the godliness
εἰ δὲ κακαὶ καὶ ἀγνώμονες, εἰς τοὐναντίον μεταγαγεῖν,
if and bad and unfeeling to the-opposite to-bring-over
ἀντὶ ἀχρήστων χρησίμους ἐπιτελοῦντας. τούτοις γοῦν
instead-of useless useful making(-them) in-these at-any-rate
αὐτοῖς τε χαίρων τοῖς ἐπιτηδεύμασιν ἀγαθοῦ τ' ἀνδρὸς
very and rejoicing the pursuits of-(a)-good and man
ἔργον εἶναι νομίζων ὑμνεῖν τὸν σωτῆρα, ἀποπέμπομαι
(the)-task to-be thinking to-hymn the savior I-dismiss
πάνθ' ὅσα ἡ χείρων τῆς τύχης κατάστασις ἀλόγως
all(-things) which the worse of-the fortune state senselessly
ἐπέσκηψεν ἀγνοίας συμπτώματι, μεγίστην σωτηρίαν
inflicted of-ignorance by-(the)-mishap (the)-greatest salvation
ἡγησάμενος τὴν μεταμέλειαν· ηὐξάμην δ' ἂν πάλαι
having-considered the repentance I-would-have-prayed and — long-ago
τήνδε μοι τὴν ἀποκάλυψιν δεδωρῆσθαι, εἴ που μακάριος
this to-me the revelation to-have-been-given if indeed blessed
ὁ ἐκ νέων συσταθεὶς καὶ τῇ γνώσει τῶν θείων
the(-one) from youth established both in-the knowledge of-the divine(-things)

καὶ τῷ τῆς ἀρετῆς κάλλει κατευφρανθείς. καὶ ταῦτα
and in-the of-the virtue beauty gladdened and these(-things)
μὲν ἡμῖν μετρίως εἰρήσθω· εἰ γὰρ καὶ μὴ ἀπὸ πρώτης
indeed by-us moderately let-be-said if for even not from (the)-first
τῆς ἡλικίας μηδ' ἐκ σπαργάνων, ὡς φασίν, οἱ χρηστοὶ
the age nor from swaddling-clothes as they-say the good
τῶν ἀνθρώπων σοφοὶ γίγνονται, ἀλλ' ὅμως ἀγαπητόν,
of-the men wise become but nevertheless (it-is)-welcome
εἰ κἂν ἐν τῇ τῆς ἀκμῆς ἡλικίᾳ τὴν σοφίαν εὐτυχῶσιν.
if even in the of-the prime age the wisdom they-attain
ἡμῖν δὲ παιδεία μὲν ἡ ἐξ ἀνθρώπων οὐδεμία πώποτε
to-us but instruction indeed the from men no ever
συνήρατο, θεοῦ δέ ἐστιν ἅπαντα τὰ δωρήματα, ὅσα ἐν
helped of-God but are all the gifts which in
ἤθεσι καὶ τρόποις εὐδοκιμεῖ παρὰ τοῖς νοῦν ἔχουσιν. ἔχω
character and ways are-esteemed among those sense having I-have
δὲ καὶ οἷον προβέβλημαι δηλητηρίου παντὸς ἄντικρυς,
and also as-it-were I-have-put-before(-me) poison every against
ὁπόσα τεκταίνεται ὁ πονηρός, οὐ μετρίαν ἀσπίδα τὴν
whatever contrives the evil-one not (a)-small shield the
γνῶσιν τῶν ἀρεσκόντων τῷ θεῷ, ἐξ ἧς τὰ
knowledge of-the(-things) pleasing — to-God from which the(-things)
πρὸς τὸν προκείμενον λόγον χρήσιμα ἐκλεξάμενος ὑμνήσω
for the present speech useful having-selected I-will-hymn
τὸν πατέρα τῶν πάντων. αὐτός τε συναιρόμενος τῇ τῆς
the father of-the all yourself and assisting the of-the
καθοσιώσεως σπουδῇ πάριθι, Χριστὲ σῶτερ ἁπάντων, καὶ
devotion zeal come Christ savior of-all and
τὸν περὶ τῆς σῆς ἀρετῆς κατακόσμει λόγον, τὸν τρόπον
the about the your virtue adorn speech the manner
τῆς σεμνολογίας ὑφηγούμενος. καὶ μηδεὶς προσδοκάτω
of-the solemn-speech guiding and let-no-one expect

κομψείᾳ τινὶ κεκαλλωπισμένων ὀνομάτων τε καὶ ῥημάτων
with-elegance some embellished words both and phrases
ἀκούσεσθαι· οἶδα γὰρ ἀκριβῶς τὴν ἔκλυτον καὶ πρὸς
to-hear I-know for well the loose and for
ἡδονὴν ἀπειργασμένην δημηγορίαν τοῖς εὖ φρονοῦσιν
pleasure wrought oratory to-those well thinking
ἀπαρέσκειν, ὅταν οἱ λέγοντες κρότου μᾶλλον ἢ
to-displease when the(-ones) speaking of-applause rather than
σώφρονος διαλέξεως ἐπιμελῶνται. φασὶ δή τινες ἀνόητοι
of-sober discourse take-care say indeed some senseless
καὶ δυσσεβεῖς ἄνθρωποι, δικαιωθῆναι τὸν Χριστὸν ἡμῶν
and impious men to-have-been-punished — Christ our
καὶ τὸν παραίτιον τοῦ βίου τοῖς ζῶσιν αὐτὸν τοῦ ζῆν
and the(-one) cause of-the life to-the living himself of-the to-live
ἐστερῆσθαι *** τοὺς ἀσεβεῖν ἅπαξ τολμήσαντας καὶ
to-have-been-deprived (lacuna) those to-be-impious once having-dared and
μήτε δεδιέναι μήτε ἐγκαλύπτεσθαι τὴν ἑαυτῶν πονηρίαν
neither to-fear nor to-be-ashamed-of the their-own wickedness
οὐδὲν θαυμαστόν, ἐκεῖνο δὲ πᾶσαν ὑπερβέβηκεν εὐήθειαν τὸ
nothing wonderful that but all surpasses silliness the
δοκεῖν πεπεικέναι ἑαυτοὺς ὑπ᾽ ἀνθρώπου θεὸν ἄφθαρτον
to-seem to-have-persuaded themselves by (a)-man God incorruptible
βεβιάσθαι, ἢ τὴν ὠμότητα ἐπικρατῆ γεγενῆσθαι
to-have-been-overpowered or the cruelty prevailing to-have-become
τῆς φιλανθρωπίας, μηδ᾽ ἐννοεῖν ὅτι τὸ μεγαλόψυχον
over-the humanity nor to-consider that the magnanimity
καὶ ἀνεξίκακον οὔθ᾽ ὑπὸ ὕβρεως διατρέπεται, οὔθ᾽ ὑπὸ
and forbearance neither by outrage is-confounded nor by
προπηλακισμοῦ τῆς φυσικῆς στερρότητος ἐξίσταται, ἀλλ᾽
insult from-the natural firmness departs but
ἀεὶ *** γίγνεται τῶν ἐπεμβαινόντων τὴν ἀγριότητα
always (lacuna) becomes of-those assailing the savagery

λογισμοῦ τε καὶ μεγαλοψυχίας φρονήματι θραύουσα.
of-reason both and of-magnanimity by-(the)-spirit breaking
προήρητο γὰρ ἡ τοῦ θεοῦ φιλανθρωπία ἀδικίαν μὲν
had-purposed for the — of-God humanity injustice indeed
ἐξαλεῖψαι κοσμιότητα δὲ καὶ δίκην ἐπᾶραι· διὸ καὶ τοὺς
to-wipe-out decency and also justice to-raise-up therefore also the
σοφωτάτους τῶν ἀνδρῶν συναθροίσας, καλλίστην καὶ
wisest of-the men having-gathered (a)-most-beautiful and
βιωφελεστάτην διδασκαλίαν συνεστήσατο, ζηλῶσαι τοὺς
most-beneficial teaching established to-emulate the
ἀγαθούς τε καὶ εὐδαίμονας τὴν ἑαυτοῦ περὶ τὰ κοσμικὰ
good both and happy the his-own about the worldly(-things)
πρόνοιαν· οὗ μεῖζον ἀγαθὸν τί ἄν τις εἴποι, θεοῦ
providence than-which greater good what — one could-say God
δικαιοσύνην βραβεύοντος καὶ ἐξομοιοῦντος ἑαυτῷ τοὺς
justice awarding and likening to-himself those
ἀξίους τῆς αὐτοῦ παιδεύσεως, ὅπως διαδοθείσης εἰς
worthy of-the his instruction that having-been-spread to
πάντας τῆς ἀγαθότητος τὸ εὐτυχεῖν τοῖς ἀνθρώποις εἰς
all the goodness the to-prosper for-the men into
ἅπαντα τὸν αἰῶνα περιγένηται; αὕτη ἐστὶν ἡ σεμνὴ νίκη,
all the age may-result this is the august victory
τόδ' ἀληθὲς κράτος, τόδε μέγιστον ἔργον καὶ ἁρμόζων
this true might this greatest work and fitting
τῶν συμπάντων δήμων σωφρονισμός. καὶ τούτων μέν
of-the all peoples correction and of-these indeed
πάντων σοι τὰ νικητήρια δίδομεν εὐφημοῦντες, ὦ σῶτερ
all to-you the prizes-of-victory we-give praising O savior
τῶν ὅλων, σὺ δ', ὦ πονηρὰ καὶ ἐπονείδιστε βλασφημία,
of-the universe you but O wicked and shameful blasphemy
ψεύδεσιν ἐπαιρομένη φήμαις τε καὶ διαβοήσεσιν ἐξαπατᾷς
by-lies exalted rumors both and clamors you-deceive

μὲν νέους, πείθεις δὲ μειράκια καὶ τῶν ἀνδρῶν τοὺς
indeed (the)-young you-persuade and lads and of-the men those
μειρακιώδη τινὰ τρόπον ἔχοντας, ἀπάγουσα μὲν αὐτοὺς
childish some character having leading-away indeed them
ἀπὸ τῆς θρησκείας τοῦ ὄντως θεοῦ, συνιστάνουσα δ'
from the worship of-the truly(-existing) God setting-up and
ἀγαλμάτων πλάσματα, οἷς εὔχοιντο καὶ προσκυνοῖεν,
of-statues figures to-which they-might-pray and do-obeisance
ὥστε ἐξαπατηθέντας μένειν τὰ ἐπίχειρα τῆς αὐτῶν
so-that deceived to-await the wages of-the their
ἀναισθησίας. αἰτιῶνται γὰρ τὸν τῶν ἀγαθῶν παραίτιον
senselessness they-blame for the of-the goods cause
πάντων, Χριστόν, θεόν τε καὶ θεοῦ παῖδα. ἆρ' οὖν οὐχ
all Christ God both and of-God son (is-it) then not
ὑπὸ σωφρονεστάτων καὶ φρονιμωτάτων ἐθνῶν τε καὶ
by most-temperate and most-prudent nations both and
δήμων οὗτος ὁ θεὸς κατ' ἀξίαν σέβεται, παντοίας μὲν
peoples this — God according-to worth is-worshiped all-kinds-of indeed
δυνάμεως ἐπειλημμένος πᾶσαν δ' ἀγαθότητα ὑπερκύπτων,
power having-grasped all and goodness surpassing
ἐξ οὗ καὶ ὁ ἔπαινος μείζων καὶ τὸ θαῦμα ἐξαίσιον, ὅτι
from which also the praise (is)-greater and the wonder extraordinary that
τῷ τῆς δυνάμεως μεγέθει πρὸς τὴν ἐκδικίαν τῆς ὕβρεως
with-the of-the power greatness for the vengeance of-the outrage
οὐκ ἀπεχρήσατο, ἀλλὰ τοῖς ἀνθρώποις ἠλίθια φρονοῦσι
not he-used but the men foolish(-things) thinking
συνέγνω, ἴδιον ἀνθρώπων τὴν μωρίαν ἡγησάμενος καὶ
pardoned proper of-men the folly having-considered and
τὸ ἐξαμαρτεῖν, αὐτὸς δ' ἐν τῇ οἰκείᾳ προαιρέσει μένων,
the to-err himself but in the own purpose remaining
οὐδοτιοῦν τῆς ἐμφύτου φιλανθρωπίας ἐμείωσεν. ἄπιτε δή,
not-at-all of-the innate humanity lessened go-away indeed

δυσσεβεῖς, (ἐφεῖται γὰρ ὑμῖν διὰ τὴν ἀτιμώρητον
impious(-ones) it-is-permitted for to-you because-of the unpunished
ἁμαρτίαν) ἐπὶ τὰς τῶν ἱερείων σφαγὰς θοίνας τε καὶ
sin to the of-the victims slaughters feasts both and
ἑορτὰς καὶ μέθας, προσποιούμενοι μὲν θρησκείαν
festivals and drinking-bouts pretending indeed worship
ἐπιτηδεύοντες δὲ ἡδονὰς καὶ ἀκολασίας, καὶ θυσίας μὲν
practicing but pleasures and licentiousness and sacrifices indeed
ἐπιτελεῖν σκηπτόμενοι ταῖς δ' ἑαυτῶν ἡδοναῖς δουλεύοντες.
to-perform alleging to-the but their-own pleasures being-slaves
οὐ γὰρ ἴστε ἀγαθὸν οὐδὲν οὐδὲ τὸ πρῶτον τοῦ μεγάλου
not for you-know good anything nor the first of-the great
θεοῦ πρόσταγμα, διατάσσοντός τε τῷ τῶν ἀνθρώπων
God command ordaining both for-the of-the men
γένει καὶ ἐπισκήπτοντος τῷ παιδὶ τὸν τούτων διακυβερνᾶν
race and enjoining on-the son the of-these to-steer
βίον, ὅπως οἱ δεξιῶς καὶ σωφρόνως βιώσαντες κατὰ
life that those rightly and soberly having-lived according-to
τὴν τοῦ παιδὸς κρίσιν δεύτερον βίον μακάριόν τε καὶ
the of-the son judgment (a)-second life blessed both and
εὐδαίμονα λαγχάνωσιν. ἐγὼ μὲν οὖν τὸ τοῦ θεοῦ δόγμα
happy may-obtain I indeed then the — of-God decree
περὶ τῆς τῶν ἀνθρώπων βιώσεως διεξῆλθον, οὐ μὴν
about the of-the men way-of-life I-have-gone-through not however
ἀγνοῶν, καθάπερ οἱ πολλοί, οὐδὲ ἐξ εἰκασίας οὐδὲ
ignorant as the many nor from conjecture nor
στοχασμοῦ. τάχα δ' ἂν τις εἴποι· πόθεν ἡ προσηγορία
guessing perhaps and — one might-say whence the appellation
τοῦ παιδός, ποία δὲ γένεσις, εἴπερ εἷς μόνος ὢν θεὸς
of-the son what and birth if-indeed one alone being God
τυγχάνει, πάσης δὲ μίξεως οὗτός ἐστιν ἀλλότριος; ἀλλὰ
happens(-to-be) from-all and union he is foreign but

τὴν γένεσιν διπλῆν τινα νοεῖσθαι χρή, τὴν μὲν ἐξ
the birth twofold some to-be-understood (one)-must the(-one) indeed by
ἀποκυήσεως τὴν συνεγνωσμένην ταύτην, ἑτέραν δὲ τὴν
bearing the familiar this (an)-other and the(-one)
ἐξ ἀιδίου αἰτίας, ἧς τὸν λόγον θεοῦ προνοίᾳ θεᾶται
from (an)-everlasting cause whose the reason by-God's providence beholds
καὶ ἀνδρῶν ὃς ἐκείνῳ φίλος ὑπάρχει· σοφὸς γάρ τις τὴν
and (one)-of-men who to-him friend is wise for anyone the
αἰτίαν τῆς τῶν ὅλων διακοσμήσεως εἴσεται. ὄντος τοίνυν
cause of-the of-the universe ordering will-know being therefore
ἀναιτίου μηδενός, προϋπάρχειν τῶν ὄντων τὴν αἰτίαν αὐτῶν
uncaused nothing to-pre-exist the beings the cause their
ἀνάγκη. ὄντος ἄρα κόσμου καὶ τῶν ἐν αὐτῷ οὔσης
(it-is)-necessary being after-all (a)-world and the(-things) in it being
τε αὐτῶν σωτηρίας, τὸν σωτῆρα τῶν πάντων προϋπάρχειν
and their safety the savior of-the all to-pre-exist
ἀνάγκη· ὡς εἶναι τὸν μὲν Χριστὸν τὴν τῆς σωτηρίας
(it-is)-necessary so-that to-be — indeed Christ the of-the salvation
αἰτίαν, τὴν δὲ σωτηρίαν τῶν ὄντων τὸ αἰτιατόν, καθάπερ
cause the and salvation of-the beings the effect just-as
αἰτία μὲν υἱοῦ ὁ πατήρ, αἰτιατὸν δ' ὁ υἱός. καὶ τὸ
(the)-cause indeed of-(the)-son the father (the)-effect and the son and the
μὲν προϋπάρχειν αὐτὸν ἱκανῶς οἶμαι δεδήλωται. πῶς δ'
indeed to-pre-exist him sufficiently I-think has-been-shown how and
εἰς ἀνθρώπους καὶ γῆν κατῆλθεν; ἡ μὲν προαίρεσις τῆς
to men and earth he-came-down the indeed purpose of-the
καθόδου, καθὼς οἱ προφῆται προεθέσπισαν, κηδεμονία τῶν
descent as the prophets foretold care of-the
ὅλων ἐστίν· ἀνάγκη γὰρ τὸν δημιουργὸν τῶν ἔργων
universe is (it-is)-necessary for the maker of-the works
αὐτοῦ κήδεσθαι. ἐπεὶ δὲ δὴ σώματι κοσμικῷ πλησιάζειν
his to-care-for since and indeed (a)-body worldly to-approach

ἔν τε γῇ χρονίζειν ἔμελλεν, τῆς χρείας τοῦτο ἀπαιτούσης
in and earth to-tarry he-was-about the need this requiring
νόθην τινὰ γένεσιν ἑαυτοῦ ἐμηχανήσατο· χωρὶς γάρ τοι
(a)-spurious some birth for-himself he-contrived without for surely
γάμου σύλληψις, καὶ ἁγνῆς παρθενίας εἰλείθυια, καὶ αἰωνίου
marriage conception and of-pure virginity childbirth and of-eternal
φύσεως ἀρχὴ χρόνιος καὶ νοητῆς οὐσίας αἴσθησις καὶ
nature (a)-beginning temporal and of-intelligible substance perception and
ἀσωμάτου φανότητος ὕλη. ἀκόλουθα τοιγαροῦν καὶ τὰ
of-bodiless brightness matter consistent accordingly also the
λοιπὰ τοῦ φάσματος· αἰγλήεσσα περιστερὰ ἐκ τῆς Νῶε
rest of-the vision (a)-radiant dove from the of-Noah
λάρνακος ἀποπταμένη ἐπὶ τοὺς τῆς παρθένου κόλπους
ark having-flown upon the of-the virgin bosom
κατῆρεν. ἀκόλουθα δὲ καὶ τὰ μετὰ τὸν ἀναφῆ
alighted consistent and also the(-things) after the untouchable
πάσης τε ἁγνείας καθαρώτερον καὶ αὐτῆς ἐγκρατείας
than-all both purity purer and than-very continence
κρείσσονα ὑμέναιον, ἡ ἐκ σπαργάνων σοφία τοῦ θεοῦ,
better marriage the from swaddling-clothes wisdom — of-God
ἐντρεπόμενός τε αὐτὸν μετὰ αἰδοῦς ὁ τῶν λουτρῶν
reverencing and him with awe the of-the washings
πάροχος Ἰορδάνης, πρὸς τούτῳ τε βασιλικὸν χρίσμα
giver Jordan besides this and (a)-royal anointing
ὁμόψυχον τῆς πάντων συνέσεως, παιδεία δὲ καὶ δύναμις
of-one-soul with-the of-all understanding teaching and also power
παράδοξα κατορθοῦσα καὶ τὰ ἀνίατα ἰωμένη, καὶ
marvels achieving and the incurable(-things) healing and
εὐχῶν ἀνθρωπίνων ταχεῖα καὶ ἀνεμπόδιστος βεβαίωσις,
of-prayers human swift and unhindered fulfillment
καὶ ὅλως ὁ σύμπας ὑπὲρ ἀνθρώπων βίος, διδασκαλία τε
and in-short the whole for men life teaching and

οὐ φρόνησιν ἀλλὰ σοφίαν διδάσκουσα, τῶν φοιτητῶν οὐ
not prudence but wisdom teaching of-the disciples not
τὰς πολιτικὰς λεγομένας ἀρετὰς μανθανόντων ἀλλὰ τὰς
the civic so-called virtues learning but the
εἰς τὸν νοητὸν κόσμον ἀτραποὺς ἀγούσας, τήν τε τοῦ
to the intelligible world paths leading the and of-the
ἀεὶ κατὰ τὰ αὐτὰ ἔχοντος γένους ἐποπτείαν πονούντων
always according-to the same being kind contemplation laboring
καὶ τὴν τοῦ μεγίστου πατρὸς ἔννοιαν ἀσκουμένων. τὰ
and the of-the greatest father thought practicing the
γέ τοι τῶν εὐεργετημάτων οὐ μέτρια· ἀντὶ μὲν τῆς
at-least surely of-the benefits not moderate instead indeed of-the
πηρώσεως ὅρασις, ἀντὶ δὲ παρέσεως εὐεξία, ἀντὶ δὲ
blindness sight instead and of-paralysis vigor instead and
θανάτου πάλιν εἰς τὸ ζῆν ἀποκατάστασις. παρίημι γὰρ
of-death again to the to-live restoration I-pass-over for
ἄφθονον τῶν ἀναγκαίων παρασκευὴν ἐν ἐρημίᾳ καὶ ἐν
(the)-abundant of-the necessities provision in (a)-desert and in
ὀλίγοις ἐδέσμασι παντοδαπὴν μεγάλοις πλήθεσι πολλοῦ
few foods manifold for-great crowds of-much
χρόνου περιουσίαν. ταύτην σοι τὴν εὐχαριστίαν κατὰ τὸ
time abundance this to-you the thanksgiving according-to the
δυνατὸν ἀποδίδομεν, Χριστὲ ὁ θεὸς καὶ σωτήρ, μεγάλου
possible we-render Christ — God and savior of-(the)-great
πατρὸς μεγίστη πρόνοια, σώζοντί τ' ἐκ τῶν κακῶν
father greatest providence saving both from the evils
καὶ τὴν μακαριωτάτην διδασκαλίαν διδάσκοντι. οὐ γὰρ
and the most-blessed teaching teaching not for
ἐγκωμιάζων ταῦτ' ἀλλ' εὐχαριστῶν λέγω. τίς γὰρ ἂν σε
praising these(-things) but giving-thanks I-say what for — you
κατ' ἀξίαν ὑμνήσειεν ἄνθρωπος; σὲ μὲν γὰρ λόγος
according-to worth could-hymn man you indeed for (the)-account

ἐξ οὐκ ὄντων τὰ ὄντα γεννῆσαι, σὲ δὲ φῶς
from not being(-things) the being(-things) to-have-begotten you and light
αὐτοῖς ἀνάψαι καὶ τὴν ἄτακτον τῶν στοιχείων σύγχυσιν
for-them to-have-kindled and the disorderly of-the elements confusion
κατακοσμῆσαι τάξει καὶ μέτρῳ. τὸ δὲ τῆς φιλανθρωπίας
to-have-ordered with-order and measure the and of-the humanity
ἐξαίρετον ἐν τῷ τοὺς εὖ πεφυκότας τῶν ἀνθρώπων
special(-mark) (is)-in the the well endowed of-the men
θείου καὶ μακαρίου ζηλωτὰς ποιῆσαι βίου, κατανοεῖν
of-(a)-divine and blessed emulators to-make life to-consider
θ' ὅπως τῶν ὄντως ἀγαθῶν ἔμποροι γεγενημένοι πλείοσι
and how of-the truly goods merchants having-become to-more
τῆς ἑαυτῶν σοφίας τε καὶ συντυχίας μεταδιδοῖεν αὐτοί
of-the their wisdom both and good-fortune they-may-impart themselves
τ' ἀρετῆς καρπὸν αἰώνιον κομίζοιντο, ἀπηλλαγμένοι μὲν
and of-virtue fruit eternal may-receive freed indeed
